ιζ´. Ταῦτα, ὦ φίλε ἑταῖρε Κρίτων, εὖ ἴσθι ὅτι ἐγὼ δοκῶ ἀκούειν, ὥς περ οἱ κορυβαντιῶντες τῶν αὐλῶν δοκοῦσιν ἀκούειν· καὶ ἐν ἐμοὶ αὕτη ἡ ἠχὴ τούτων τῶν λόγων βομβεῖ, καὶ ποιεῖ μὴ δύ-
2 νασθαι τῶν ἄλλων ἀκούειν. Ἀλλὰ ἴσθι, ὅσα γε τὰ νῦν ἐμοὶ δοκοῦντα, ἐάν τι λέγῃς παρὰ ταῦτα, μάτην ἐρεῖς. Ὅμως μέντοι
3 εἴ τι οἴει πλέον ποιήσειν, λέγε. — Κρ. Ἀλλ', ὦ Σώκρατες, οὐκ ἔχω λέγειν. — Σωκρ. Ἔα τοίνυν, ὦ Κρίτων· καὶ πράττωμεν ταύτῃ, ἐπειδὴ ταύτῃ ὁ θεὸς ὑφηγεῖται.

## Δ´. ΑΛΚΙΒΙΑΔΗΣ ΔΕΥΤΕΡΟΣ, Η ΠΕΡΙ ΠΡΟΣΕΥΧΗΣ (*).

α´. Ὦ Ἀλκιβιάδη, ἆρά γε πρὸς τὸν θεὸν προσευξόμενος πορεύῃ; — Ἀλκ. Πάνυ μὲν οὖν, ὦ Σώκρατες. — Σωκρ. Φαίνῃ γέ τι ἐσκυθρωπακέναι τε καὶ εἰς γῆν βλέπειν, ὥς τις συννοούμενος. —
2 Ἀλκ. Καὶ τί ἄν τις συννοοῖτο, ὦ Σώκρατες. — Σωκρ. Τὴν μεγίστην, ὦ Ἀλκιβιάδη, σύννοιαν, ὥς γέ μοι δοκεῖ. Ἐπεί, φέρε πρὸς Διός, οὐκ οἴει τοὺς θεούς, ἃ τυγχάνομεν εὐχόμενοι καὶ ἰδίᾳ καὶ δημοσίᾳ, ἐνίοτε τούτων τὰ μὲν διδόναι, τὰ δ' οὔ; καὶ ἔστιν οἷς μὲν αὐτῶν, ἔστι δὲ οἷς οὔ; — Ἀλκ. Πάνυ μὲν οὖν. — Σωκρ.
3 Οὐκοῦν δοκεῖ σοι πολλῆς προμηθείας γε προσδεῖσθαι, ὅπως μὴ λήσῃ τις αὑτὸν εὐχόμενος μεγάλα κακά, δοκῶν δ' ἀγαθά; εἰ δὲ θεοὶ τύχωσιν ἐν ταύτῃ ὄντες τῇ ἕξει ἐν ᾗ διδόασιν αὐτοὶ ἅ τις
4 εὐχόμενος τυγχάνει; Ὥσπερ τὸν Οἰδίπουν αὐτίκα φασὶν εὔξασθαι χαλκῷ διελέσθαι τοὺς υἱεῖς τὰ πατρῷα· ἐξὸν αὐτῷ τῶν

---

ιζ´. Οἱ κορυβαντιῶντες) Τίμαιος Γλωσσαρ. Πλατ. Κορυβαντιᾷν, παραμαίνεσθαι, καὶ ἐνθουσιαστικῶς κινεῖσθαι· ἀπὸ μεταφορᾶς δέ ἐστι τῶν Κορυβάντων· οὗτοι δὲ ἦσαν ἱερεῖς τῆς Ῥέας ἐν Φρυγίᾳ, οἵτινες ὠρχοῦντο ἔνθεοι γενόμενοι. Στράβ. Ι´. ἐντεῦθεν κορυβαντιᾷν ἐστὶ τὸ νοσεῖν, καὶ κορυβαντιασμός, ἡ κατὰ φαντασίαν νόσος ἐλέγετο· ὅταν τὰ ὦτα ἐδόκουν ἀντηχεῖν τῷ τῶν αὐλῶν ἤχῳ· ἥτις νόσος ἐνομίζετο ἀπὸ τῶν Κορυβάντων ἔχειν τὴν ἀρχήν.

— Ἡ ἠχὴ) Ἀττικῶς ἀντὶ ἦχος.

2. Ὅμως μέντοι) Ἐκ παραλλήλου τὰ μόρια.

3. Οὐκ ἔχω λέγειν) Τὸ Ἔχω πρὸς ἀπαρέμφατον φερόμενον τὸ Δύναμαι σημαίνει.

— Ταύτῃ) Ἀντὶ Οὕτως· οὕτω γὰρ ὁ θεὸς ὑφηγεῖται.

(*) Καλεῖται ὁ διάλογος οὗτος Ἀλκιβιάδης Δεύτερος· ὅτι καὶ ἕτερον συνέγραψε Πλάτων διάλογον Πρῶτον Ἀλκιβιάδην καλέσας· ἔνθα περὶ φύσεως διαλαμβάνει ἀνθρώπου, τὸν Σωκράτην μετὰ Ἀλκιβιάδου ὑποτιθεὶς διαλεγόμενον. Ὁ δὲ παρὼν Δεύτερος Ἀλκιβιάδης περὶ προσευχῆς καὶ θείων πραγμάτων διαλαμβάνει· τὸν Σωκράτην μετὰ Ἀλκιβιάδου ὑποτιθεὶς διαλεγόμενον περὶ τούτων· ἔνθα ποιεῖ Σωκράτης Ἀλκιβιάδην θείων πραγμάτων εὐμαθέστερον.

α´. Ὥς τις συννοούμενος) Ὥς τις σκεπτόμενος καὶ τι κατὰ νοῦν ἀναπολῶν.

2. Καὶ ἔστιν οἷς μὲν) Ἔστιν οἷς ἀντ' Ἐνίοις· οἷον· Καὶ ἐνίοις μὲν τῶν ἀνθρώπων διδόναι, ἐνίοις δὲ οὐ διδόναι.

4. Αὐτίκα) Ὡς ἐπὶ παραδείγματος εἰπεῖν.

— Διελέσθαι, τοὺς υἱεῖς) Λάϊος ἐξ Ἰοκάστης ἔσχεν υἱόν, καὶ ἐπεὶ χρησμὸς ἦν ὑπὸ τούτου φονευθῆναι, διατρήσας τὰ σφυρὰ ἐκτίθησιν εἰς Κιθαιρῶνα· ἔνθα εὑρόντες βουκόλοι Πολύβου βασιλέως Κορινθίων, ἤνεγκαν Περιβοίᾳ τῇ γυναικὶ αὐτοῦ· ἡ δέ, ἀνελοῦσα ὑποβάλλεται, καὶ θεραπεύσασα τὰ σφυρά, Οἰδίπουν καλεῖ. Οὗτος τελειωθεὶς μανθάνει παρὰ

παρόντων κακῶν ἀποτροπήν τινα εὔξασθαι, ἕτερα πρὸς τοῖς
ὑπάρχουσι κατηρᾶτο. Τοιγαροῦν ταῦτά τε ἐξετελέσθη, καὶ ἐκ 5
τούτων ἄλλα πολλὰ καὶ δεινά· ἃ τί δεῖ καθ' ἕκαστα λέγειν; —
Ἀλκ. Ἀλλὰ σὺ μὲν, ὦ Σώκρατες, μαινόμενον ἄνθρωπον εἴρηκας. Ἐπεὶ τίς ἂν σοι δοκῇ τολμῆσαι ὑγιαίνων τοιαῦτα εὔξασθαι;

β'. Σωκρ. Τὸ μαίνεσθαι ἆρά γε ὑπεναντίον σοι δοκεῖ τῷ σωφρονεῖν; — Ἀλκ. Πάνυ μὲν οὖν. — Σωκρ. Ἄφρονες δὲ καὶ
φρόνιμοι δοκοῦσιν ἄνθρωποι εἶναί τινές σοι; — Ἀλκ. Εἶναι μέν 2
τοι. — Σωκ. Φέρε δὴ, ἐπισκεψώμεθα τίνες ποτ' εἰσὶν οὗτοι; Ὅτι μὲν γὰρ εἰσί τινες, ὡμολόγηται, ἄφρονές τε καὶ φρόνιμοι,
καὶ μαινόμενοι ἕτεροι. — Ἀλκ. Ὡμολόγηται γάρ. — Σωκ. 3
Ἔτι δὲ ὑγιαίνοντες εἰσί τινές; — Ἀλκ. Εἰσίν. — Σωκ. Οὐκοῦν καὶ ἀσθενοῦντες ἕτεροι; — Ἀλκ. Πάνυ γε. — Σωκ. Οὐκοῦν οὐχ οἱ αὐτοί. — Ἀλκ. Οὐ γάρ. — Σωκ. Ἆρ' οὖν καὶ ἕτεροί τινές
εἰσιν οἱ μηδ' ἕτερα τούτων πεπόνθασιν; — Ἀλκ. Οὐ δῆτα. — 4
Σωκ. Ἀνάγκη γὰρ ἐστιν ἄνθρωπον ὄντα νοσεῖν, ἢ μὴ νοσεῖν. — Ἀλκ. Ἔμοιγε δοκεῖ. — Σωκ. Τί δέ; περὶ φρονήσεως καὶ ἀφροσύνης ἆρά γε τὴν αὐτὴν ἔχεις γνώμην; — Ἀλκ. Πῶς λέγεις; —
Σωκ. Δοκεῖ σοι οἷόν τε εἶναι ἢ φρόνιμον, ἢ ἄφρονα; ἢ ἔστι τι διὰ 5
μέσου τρίτον πάθος, ὃ ἐποίει τὸν ἄνθρωπον μήτε φρόνιμον, μήτε
ἄφρονα; — Ἀλκ. Οὐ δῆτα. — Σωκρ. Ἀνάγκη ἄρα ἐστὶ τὸ 6
ἕτερον τούτων πεπονθέναι. — Ἀλκ. Ἔμοιγε δοκεῖ. — Σωκ. Οὐκοῦν μέμνησαι ὁμολογήσας ὑπεναντίον εἶναι μανίαν φρονήσει; —
Ἀλκ. Ἔγωγε. — Σωκ. Οὐκοῦν καὶ μηδὲν εἶναι διὰ μέσου 7

---

τοῦ χρησμοῦ ὡς τὸν πατέρα φονεύσει, καὶ τὴν μητέρα γαμήσει. Λιπὼν οὖν τὴν Κόρινθον, δέει τοῦ τοιούτου, καὶ κατὰ τὴν Φωκίδα συναντήσας Λάϊον, καὶ ἐρίσας ἐν τῇ ὁδῷ, κτεῖναι αὐτόν. Κἀντεῦθεν ἐλθὼν εἰς Θήβας, καὶ λύσας τὸ τῆς Σφιγγὸς αἴνιγμα, κατὰ τὸ κήρυγμα λαμβάνει τὴν βασιλείαν, καὶ Ἰοκάστην γαμεῖ· ἐξ ἧς ἔσχεν Ἐτεοκλέα καὶ Πολυνείκην. Φανέντων δὲ ὕστερον τῶν λανθανόντων, Οἰδίπους τυφλώσας τὰς ὄψεις, ἐκ Θηβῶν ἠλαύνετο, ἀρὰς τοῖς παισὶ θέμενος χαλκῷ διελέσθαι τὰ πατρῷα. Τῶν δ' υἱῶν συνθέντων πρὸς ἀλλήλους περὶ βασιλείας τὸν ἕτερον παρ' ἐνιαυτὸν ἄρχειν. Ἐτεοκλῆς ἄρξας πρῶτος, οὐκ ἐβούλετο παραδοῦναι τὴν ἀρχήν. Πολυνείκης δὲ φυγαδευθεὶς ἦλθεν εἰς Ἄργος, κἀκεῖθεν σὺν ἡγεμόσιν ἑπτὰ (ἦσαν δὲ οὗτοι Ἄδραστος, Ἀμφιάραος, Καπανεὺς, Ἱππομέδων, Ἀργεῖοι, Πολυνείκης, Θηβαῖος Τυδεὺς, Αἰτωλός· καὶ Παρθενοπαῖος, Ἀρκὰς) ἔρχεται εἰς Θήβας, καὶ μάχης γενομένης τῆς λεγομένης Ἑπτὰ ἐπὶ Θήβαις, καὶ πολλῶν ἑκατέρωθεν πεσόντων, τέλος ἐγνώσθη Ἐτεοκλέα καὶ Πολυνείκην μονομαχῆσαι· οἱ δὲ μονομαχήσαντες ἔκτεινον ἀλλήλους καὶ ἡ εὐχὴ τοῦ πατρὸς ἐπληρώθη. Ἀλλὰ καὶ μετὰ τοῦτο πάλιν κρατερὰ ἐγένετο μάχη, καὶ πολλοὶ ἔπεσον. Μετὰ δὲ ἔτη δέκα οἱ τῶν ἀπολλομένων παῖδες Ἐπίγονοι κληθέντες στρατεύουσιν ἐπὶ Θήβας τιμωρησόμενοι τὸν θάνατον τῶν πατέρων, καὶ τότε τείχη Θηβῶν καθαιροῦσι, καὶ τὴν λείαν ἀθροίζουσιν. Ἀπολλόδ. Γ'. ε. . . . ζ'.

β'. 3. Οὐκοῦν οὐχ οἱ αὐτοί) Ἐννοεῖται Εἰσὶ καὶ ὑγιαίνοντες καὶ ἀσθενοῦντες.
— Οὐ δῆτα) Οὐ γὰρ δήπου εἰσὶν ἄνθρωποι μὴ ὑγιαίνοντες, ἢ μὴ ἀσθενοῦντες· ἀλλ' ἤτοι ὑγιαίνοντές εἰσιν, ἢ ἀσθενοῦντες.

6. Πεπονθέναι) Ἤτοι ἄφρονα εἶναι, ἢ φρόνιμον.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
Ε. ΥΔ της Κ. Π. ΙΩΑΝΝΙΝΑ 2006

τρίτον πάθος, ὃ ποιεῖ τὸν ἄνθρωπον μήτε φρόνιμον μήτε ἄφρονα
8 εἶναι; — Ἀλκ. Ὡμολόγησα γάρ. — Σωκ. Καὶ μὴν δύο γε
ὑπεναντία ἑνὶ πράγματι πῶς ἂν εἴη; — Ἀλκ. Οὐδαμῶς. —
Σωκ. Ἀφροσύνη ἄρα καὶ μανία κινδυνεύει ταὐτὸν εἶναι. —
9 Ἀλκ. Φαίνεται. — Σωκ. Πάντας οὖν ἂν φάντες, ὦ Ἀλκιβιάδη,
τοὺς ἄφρονας μαίνεσθαι, ὀρθῶς ἂν φαίημεν. — Ἀλκ. Ναί. —
Σωκ. Αὐτίκα, τῶν σῶν ἡλικιωτῶν εἴ τινες τυγχάνουσιν ἄφρονες
ὄντες, ὥσπερ εἰσί, καὶ τῶν ἔτι πρεσβυτέρων. Ἐπεὶ φέρε πρὸς Διός,
οὐκ οἴει τῶν ἐν τῇ πόλει ὀλίγους μὲν εἶναι τοὺς φρονίμους,
ἄφρονας δὲ τοὺς πολλούς; οὓς δὴ σὺ μαινομένους καλεῖς; —
10 Ἀλκ. Ἔγωγε. — Σωκ. Οἴῃ ἂν οὖν χαίροντας ἡμᾶς εἶναι μετὰ
τοσούτων μαινομένων πολιτευομένους; καὶ οὐκ ἂν παιομένους,
καὶ βαλλομένους, καὶ ἅπερ εἰώθασιν οἱ μαινόμενοι διαπράττε-
σθαι, πάλαι δίκην δεδωκέναι; ἀλλ᾽ ὅρα, ὦ μακάριε, μὴ οὐχ
οὕτω ταῦτ᾽ ἔχει.

γ΄. Ἀλκ. Πῶς ἂν οὖν ποτ᾽ ἔχοι, ὦ Σώκρατες; κινδυνεύει γὰρ
οὐχ οὕτως ἔχειν ὥσπερ ᾠήθην. — Σωκ. Οὐδ᾽ ἐμοὶ δοκεῖ. Ἀλλὰ
τῇδέ πη ἀθρητέον. — Ἀλκ. Πῇ ποτε λέγεις; — Σωκ. Ἐγὼ δή
2 σοί γε ἐρῶ. Ὑπολαμβάνομέν γέ τινας εἶναι νοσοῦντας· ἢ οὔ; —
Ἀλκ. Πάνυ μὲν οὖν. — Σωκ. Ἆρ᾽ οὖν δοκεῖ σοι ἀναγκαῖον εἶναι
τὸν νοσοῦντα ποδαγρᾷν, ἢ πυρέττειν, ἢ ὀφθαλμιᾷν; ἢ οὐκ ἂν δο-
κῇ σοι, καὶ μηδὲν τούτων πεπονθώς, ἑτέραν νοσεῖν νόσον; πολλαὶ
γάρ δή που γέ εἰσι καὶ οὐχ αὗται μόναι. — Ἀλκ. Ἔμοιγε δο-
3 κοῦσιν. — Σωκ. Ὀφθαλμία οὖν σοι δοκεῖ, πᾶσα νόσος εἶναι; —
Ἀλκ. Ναί. — Σωκ. Ἆρ᾽ οὖν καὶ πᾶσα νόσος, ὀφθαλμία; —
Ἀλκ. Οὐ δῆτα ἔμοιγε· ἀπορῶ μέντοι γε πῶς λέγω. — Σωκ.
4 Ἀλλ᾽ ἐὰν ἔμοιγε προσέχῃς τὸν νοῦν, σύν τε δύο σκεπτομένω, σχε-
δὸν εὑρήσομεν. — Ἀλκ. Ἀλλὰ προσέχω, ὦ Σώκρατες, εἰς δύνα-
5 μιν τὴν ἐμήν. — Σωκ. Οὐκοῦν ὡμολογήθη ἡμῖν ὀφθαλμία μὲν
πᾶσα, νόσος εἶναι, νόσος μέντοι οὐκ εἶναι πᾶσα, ὀφθαλμία; —
6 Ἀλκ. Ὡμολογήθη. — Σωκ. Καὶ ὀρθῶς γέ μοι δοκεῖ ὁμολογηθῆ-
ναι· καὶ γὰρ οἱ πυρέττοντες πάντες νοσοῦσιν, οὐ μέντοι οἱ νο-

---

9. Αὐτίκα) Ὡς ἐπὶ παραδείγματος. Εἴ τινες τῶν σῶν ἡλικιωτῶν εἰσιν ἄφρονες, ὥσπερ καὶ εἰσί· καὶ εἴ τινες τῶν πρεσβυτέρων ἔτι εἰσὶν ἄφρονες, πάντας ἂν ὀρθῶς φαίημεν, τούτους μαίνεσθαι. Ἐννοεῖται γὰρ ἡ ἀνωτέρω περίοδος πρὸς ἀπόδοσιν.

10. Οἴῃ ἂν) Οἴει οὖν ὅτι ἡμεῖς εἴημεν ἐν χαρᾷ μετὰ καὶ τλ.

— Δίκην δεδωκ.) Κολασθῆναι καὶ οἴει ὅτι οὐ παιόμενοι καὶ τλ. πάλαι ἂν ἐκολάσθημεν.

γ΄. Ἀλλὰ τῇδέ πη ἀθρητέον) Ἀλλὰ τόνδε πως τὸν τρόπον δεῖ παρατηρεῖν, καὶ σκέπτεσθαι.

3. δῆτα ἔμοιγε) Πάντως οὐ δοκεῖ μοι οὕτως ἔχειν.

4. Σύν τε δύο) Ἐκ τῶν Ὁμήρ. Ἰλ. Κ. στίχ. 224. εἴληπται ἡ φράσις αὕτη· σημαίνει δὲ τὸ ἐὰν σκεφθῶμεν ὁμοῦ οἱ δύο.

σοῦντες πάντες πυρέττουσιν, οὐδὲ ποδαγριῶσιν, οὐδέ γε ὀφθαλ-
μιῶσιν, οἶμαι· ἀλλὰ νόσος μὲν πᾶν τὸ τοιοῦτόν ἐστι, διαφέρειν δή
φασιν οὓς δὴ καλοῦμεν ἰατροὺς τὴν ἀπεργασίαν αὐτῶν. Οὐ 7
γὰρ πᾶσαι, οὔτε ὅμοιαι, οὔτε ὁμοίως διαπράττονται, ἀλλὰ κατὰ
τὴν αὑτῆς δύναμιν ἑκάστη· νόσοι μέντοι πᾶσαί εἰσιν. Ὥσπερ
δημιουργούς τινας ὑπολαμβάνομεν· ἢ οὔ; — Ἀλκ. Πάνυ μὲν 8
οὖν. — Σωκ. Οὐκοῦν τοὺς σκυτοτόμους, καὶ τέκτονας, καὶ ἀν-
δριαντοποιούς, καὶ ἑτέρους παμπλήθεις, οὓς τί δεῖ καθ᾽ ἕκαστα
λέγειν; ἔχουσι δ᾽ οὖν διειληφότες δημιουργίας μέρη, καὶ πάντες
οὗτοι εἰσὶ δημιουργοί· οὐ μέντοι εἰσὶ τέκτονές γε, οὐδὲ σκυτοτόμοι,
οὐδὲ ἀνδριαντοποιοί· οἱ σύμπαντες εἰσὶ δημιουργοί. — Ἀλκ.
Οὐ δῆτα. — Σωκ. Οὕτω μὲν οὖν καὶ τὴν ἀφροσύνην διειληφότες 9
εἰσί· καὶ τοὺς μὲν πλεῖστον μέρος αὐτῆς ἔχοντας, μαινομένους
καλοῦμεν· τοὺς δ᾽ ὀλίγον ἔλαττον, ἠλιθίους τε καὶ ἐμβροντήτους.
Οἱ δὲ ἐν εὐφημοτάτοις ὀνόμασι βουλόμενοι κατονομάζειν, οἱ μέν, 10
μεγαλοψύχους, οἱ δέ, εὐήθεις· ἕτεροι δὲ ἀκάκους, καὶ ἀπείρους,
καὶ ἐννεούς. Εὑρήσεις δὲ καὶ ἕτερα πολλὰ ἀναζητῶν ὀνόματα.
Πάντα δὲ ταῦτα ἀφροσύνη ἐστί· διαφέρει δέ, ὥσπερ τέχνη 11
τέχνης ἡμῖν κατεφαίνετο, καὶ νόσος νόσου. Ἢ πῶς σοὶ δοκεῖ; —
Ἀλκ. Ἐμοὶ μὲν οὕτω.

δ΄. Σωκ. Οὐκοῦν ἀπ᾽ ἐκείνου πάλιν ἐπανέλθωμεν. Ἦν γὰρ
δήπου ἐν ἀρχῇ τοῦ λόγου σκεπτέον εἶναι τοὺς ἄφρονάς τε καὶ
φρονίμους, τίνες ποτ᾽ εἰσίν· ὡμολόγητο γὰρ εἶναί τινας· ἢ γὰρ
οὔ; — Ἀλκ. Ναὶ ὡμολόγηται. — Σωκ. Ἆρ᾽ οὖν τούτους φρο- 2
νίμους ὑπολαμβάνεις, οἳ ἂν εἰδῶσιν ἅττα δεῖ πράττειν καὶ λέ-
γειν; — Ἀλκ. Ἔγωγε. — Σωκ. Ἄφρονας δὲ ποτέρους; ἆρά γε
τοὺς μηδ᾽ ἕτερα τούτων εἰδότας; — Ἀλκ. Τούτους. — Σωκ.
Οὐκοῦν οἵ γε μὴ εἰδότες μηδ᾽ ἕτερα τούτων, λήσουσιν αὑτοὺς 3
καὶ λέγοντας καὶ πράττοντας ἅττα μὴ δεῖ; — Ἀλκ. Φαίνε-
ται. — Σωκρ. Τούτων μέντοι ἔλεγον, ὦ Ἀλκιβιάδη, καὶ τὸν 4
Οἰδίπουν εἶναι τῶν ἀνθρώπων. Εὑρήσεις δὲ καὶ τῶν νῦν ἔτι

---

6. Τὴν ἀπεργασίαν αὐτῶν) Ἐκ πρώτου εἰς τὸ διαφέρει.

7. Ὥσπερ δημιουργούς) Γενικὸν ὄνομα τὸ δημιουργὸς ὡς παρακατιόντι δηλοῦται· οἷον· νόσοι δὲ πᾶσαί εἰσιν, ὥσπερ ὑπολαμβάνομεν, ὅτι εἰσὶ καὶ δημιουργοί τινες· ἢ οὐχ οὕτως ἔχει;

8. Οὐκοῦν) Ἐννοεῖται ὑπολαμβάνομεν δημιουργούς τινας.

— Ἔχουσι δ᾽ οὖν) Ἔχουσι γάρ.

— Οὐ δῆτα) Εἰσὶν οἱ σύμπαντες τέκτονες, ἢ σκυτοτόμοι, ἢ ἀνδριαντοποιοί.

11. Ἐμοὶ μὲν οὕτω) Δοκεῖ.

δ΄. Οὐκοῦν ἀπ᾽ ἐκείν.) Εἰ τ᾽ οὖν ἐπανελθόντες ἀρξώμεθα ἀπ᾽ ἐκείνου.

— Ἢ γὰρ οὔ;) Ἆρά γε οὐχ ὡμολόγηται.

2. Τούτους) Ὑπολαμβάνω· ἐννοεῖται ἀπὸ κοινοῦ.

4. Εἶναι τῶν ἀνθρ.) Ἐννοεῖται ἔξωθεν. Ἕνα· μετὰ γὰρ τὰ ὑπαρκτικὰ ἡ γενικὴ τοιοῦτό τι ἔχει ἐννοούμενον διαιρετικῶς λεγομένη.

πολλοὺς οὐκ ὀργῇ κεχρημένους, ὥσπερ ἐκεῖνον, οὐδ᾽ οἰομένους κακὰ σφίσιν εὔχεσθαι, ἀλλ᾽ ἀγαθά. Ἐκεῖνος μέν, ὥσπερ οὐδ᾽ ηὔχετο, οὐδ᾽ ᾤετο· ἕτεροι δέ τινές εἰσιν, οἳ τἀναντία τούτων πε-
5 πόνθασιν. Ἐγὼ μὴν γὰρ οἶμαί σε, εἴ σοι ἐμφανὴς γενόμενος ὁ θεὸς πρὸς ὃν τυγχάνεις πορευόμενος, ἐρωτήσειε, πρὶν ὁτιοῦν εὔξασθαί σε, εἰ ἐξαρκέσει σοὶ τύραννον γενέσθαι τῆς Ἀθηναίων πόλεως· εἰ δὲ τοῦτο φαῦλον ἡγήσαιο, καὶ μὴ μέγα τι, προσθείη,
6 καὶ πάντων τῶν Ἑλλήνων· εἰ δέ σε ὁρῴη ἔτι ἔλαττον δοκοῦντα ἔχειν, εἰ μὴ καὶ πάσης Εὐρώπης ὑποσταίη σοι, καὶ τοῦτο μὴ μόνον ὑποσταίη, αὐθημερὸν σοῦ βουλομένου ὡς πάντας αἰσθέσθαι ὅτι Ἀλκιβιάδης ὁ Κλεινίου τύραννός ἐστιν· αὐτὸν οἶμαι ἂν σε ἀπιέναι περιχαρῆ γενόμενον, ὡς τῶν μεγίστων ἀγαθῶν κεκυρηκότα. — Αλκ. Ἐγὼ μὲν οἶμαι, ὦ Σώκρατες, κἂν ἄλλον ὁντινοῦν, εἴπερ τοιαῦτα συμβαίη αὐτῷ. — Σωκ. Ἀλλὰ
7 μέντοι ἀντί γε τῆς σῆς ψυχῆς οὐδ᾽ ἂν τὴν πάντων Ἑλλήνων καὶ Βαρβάρων χώραν τε καὶ τυραννίδα βουληθείης σοὶ γενέσθαι. — Αλκ. Οὐκ οἴομαι ἔγωγε. Πῶς γὰρ ἄν; μηθέν γέ τι μέλλων αὐτοῖς χρῆσθαι. — Σωκ. Τί δ᾽ εἰ μέλλεις κακῶς τε καὶ βλαβερῶς χρῆσθαι; οὐδ᾽ ἂν οὕτως; — Αλκ. Οὐ δῆτα.

έ. Σωκ. Ὁρᾷς οὖν ὡς οὐκ ἀσφαλὲς οὔτε τὰ διδόμενα εἰκῆ δέχεσθαί σε, οὔτε αὐτὸν εὔχεσθαι γενέσθαι· εἴ γέ τις βλάπτεσθαι μέλλει διὰ ταῦτα, ἢ τοπαράπαν τοῦ βίου ἀπαλλαγῆναι.
2 Πολλοὺς δ᾽ ἂν ἔχοιμεν εἰπεῖν, ὅσοι τυραννίδος ἐπιθυμήσαντες ἤδη, καὶ σπουδάσαντες τοῦτ᾽ αὐτοῖς παραγενέσθαι, ὡς ἀγαθόν τι πράξοντες, διὰ τὴν τυραννίδα ἐπιβουλευθέντες τὸν βίον
3 ἀφῃρέθησαν. Οἶμαι δέ σε οὐκ ἀνήκοον εἶναι ἔνιά γε χθιζά τε καὶ πρωϊζὰ γεγενημένα· ὅτε Ἀρχέλαον τὸν Μακεδόνων τύραννον τὰ παιδικά, ἐρασθέντα τῆς τυραννίδος οὐθὲν ἧττον ἤπερ ἐκεῖνος τῶν παιδικῶν, ἀπέκτεινε τὸν ἐραστήν, ὡς τύραννός τε καὶ εὐδαίμων ἀνὴρ ἐσόμενος. Κατασχὼν δὲ τρεῖς ἢ τέτταρας ἡμέρας τὴν τυραννίδα, πάλιν αὐτὸς ἐπιβουλευθεὶς ὑφ᾽ ἑ-

— Ὥσπερ ἐκεῖνον) Τὸν Οἰδίπουν· ὀργῇ γὰρ χρώμενος πρὸς τοὺς υἱοὺς κατηύξατο αὐτῶν.

— Οὐδ᾽ ᾤετο) Ὅτι εὔχεται ἀγαθά.

6. Ἔλαττον δοκοῦντα ἔχ.) Ὅτι οὔ σοι δοκεῖ ἱκανὸν καὶ τοῦτο.

— Εἰ μὴ καὶ) Ἐὰν μή σοι ὑποσχεθῇ καὶ πάσης τῆς Εὐρώπης τύραννον γενέσθαι.

— Καὶ τοῦτο μὴ μόνον ὑπ.) Οὐ γὰρ ἐξαρκέσει σοι ἐὰν τοῦτο μόνον ὑποσχεθῇ, ἐπειδὴ σὺ βούλει, ὡς πάντας ἀνθρώπους αἰσθέσθαι τοῦτο· ὅτι δηλ. Ἀλκιβιάδης ὁ Κλ. καὶ τλ.

— Κἂν ἄλλον) Καὶ ἄλλον ἂν ὁντινοῦν ἀπιέναι, περιχαρῆ γενόμενον.

έ. 3. Χθιζὰ καὶ πρωϊζὰ) Σύνηθες τοῦτο παρὰ τοῖς Ἀττικοῖς· καὶ ἔστιν ὅμοιον τῷ παρ᾽ ἡμῖν. Χθεσινὰ καὶ προχθεσινά. Τὸν γὰρ Ἀρχέλαον εἷς τῶν ἐρωμένων αὐτοῦ ἐπιθυμήσας τύραννος γενέσθαι κατέκτεινεν αὐτόν.

τέρων τινῶν ἐτελεύτησεν. Ὁρᾷς δὴ καὶ τῶν ἡμετέρων πολιτῶν 4
(ταῦτα γὰρ οὐκ ἄλλων ἀκηκόαμεν, ἀλλ᾽ αὐτοὶ παρόντες οἴδα-
μεν) ὅσοι στρατηγίας ἐπιθυμήσαντες ἤδη, καὶ τυχόντες αὐτῆς,
οἱ μὲν, ἔτι καὶ νῦν φυγάδες τῆς δε τῆς πόλεώς εἰσιν, οἱ δὲ
τὸν βίον ἐτελεύτησαν· οἱ δὲ ἄριστα δοκοῦντες αὐτῶν πράτ- 5
τειν, διὰ πολλῶν κινδύνων ἐλθόντες καὶ φόβων, οὐ μόνον ἐν
ταύτῃ τῇ στρατηγίᾳ, ἀλλ᾽ ἐπεὶ εἰς τὴν ἑαυτῶν κατῆλθον, ὑπὸ
τῶν συκοφαντῶν πολιορκούμενοι πολιορκίαν οὐδὲν ἔλαττω τῆς
ὑπὸ τῶν πολεμίων διετέλεσαν· ὥστε ἐνίους αὐτῶν εὔχεσθαι ἀ-
στρατηγήτους εἶναι μᾶλλον ἢ ἐστρατηγηκέναι. Εἰ μὲν οὖν ἦ- 6
σαν οἱ κίνδυνοί τε καὶ πόνοι φέροντες εἰς ὠφέλειαν, εἶχεν ἄν
τινα λόγον· νῦν δὲ καὶ πολὺ τοὐναντίον. Εὑρήσεις δὲ καὶ πε-
ρὶ τέκνων τὸν αὐτὸν τρόπον, εὐξαμένους τινὰς ἤδη γενέσθαι,
καὶ γενομένων εἰς ξυμφοράς τε καὶ λύπας τὰς μεγίστας κα-
ταστάντας. Οἱ μὲν γὰρ, μοχθηρῶν διὰ τέλους ὄντων τῶν τέ- 7
κνων, ὅλον τὸν βίον λυπούμενοι διήγαγον· τοὺς δὲ, χρηστῶν
μὲν γενομένων, συμφοραῖς δὲ χρησαμένων, ὥστε στερηθῆναι,
καὶ τούτους οὐδὲν εἰς ἐλάττονας δυστυχίας καθεστηκότας ἤ-
περ ἐκείνους· καὶ βουλομένους ἂν ἀγένητα μᾶλλον εἶναι ἢ γε-
νέσθαι. Ἀλλ᾽ ὅμως τούτων τε καὶ ἑτέρων πολλῶν ὁμοιοτρόπων 8
τούτοις οὕτω σφόδρα καταδήλων ὄντων, σπάνιον εὑρεῖν ὅστις
ἂν ἢ διδομένων ἀπόσχοιτο, ἢ μέλλων δι᾽ εὐχῆς τεύξεσθαι, παύ-
σαιτο ἂν εὐχόμενος. Οἱ δὲ πολλοὶ οὔτε ἂν τυραννίδος διδομέ-
νης ἀπόσχοιντο ἄν, οὔτε στρατηγίας, οὐδ᾽ ἑτέρων πολλῶν, ἃ 9
παρόντα βλάπτει μᾶλλον ἢ ὠφελεῖ· ἀλλὰ κἂν εὔξαιντο ἂν γε-
νέσθαι, εἴτῳ μὴ παρόντα τυγχάνει. Ὀλίγον δὲ ἐπισχόντες, ἐ-
νίοτε παλινῳδοῦσιν, ἀνευχόμενοι ἅττ᾽ ἂν τὸ πρῶτον εὔξωνται. Ἐγὼ 10
μὲν οὖν ἀπορῶ μὴ ὡς ἀληθῶς μάτην θεοὺς ἄνθρωποι αἰτιῶνται, ἐξ
ἐκείνων φάμενοι κακὰ σφίσιν εἶναι· οἱ δὲ καὶ αὐτοὶ σφῇσιν εἴτε ἀτα-
σθαλίαισιν, εἴτε ἀφροσύναις χρὴ εἰπεῖν, ὑπὲρ μόρον ἄλγε᾽ ἔχουσι.

---

4. Ὁρᾷς δὴ) Ἐν γὰρ Ἀθήναις δημοκρατουμέναις πολλὰ τοιαῦτα συνεχῶς ἐγίγνετο· τῶν στρατηγούντων γὰρ τοὺς μὲν ἐφυγάδευον, τοὺς δὲ ἀπέκτεινον· ἔστι δὲ οὓς καὶ εἰς εἱρκτὴν ἐνέβαλλον. Ταῦτα δὲ ἐποίουν, φασὶ, δέει τῆς τυραννίδος.

5. Ἀστρατηγήτους εἶν.) Μὴ γενέσθαι στρατηγούς. Τὰ εἰς τος ἀπὸ τοῦ τρίτου προσώπου τοῦ παθητικοῦ παρακειμένου παθητικῶς λαμβάνεται· ἔστι δὲ ὅτε συνθέτως καὶ ἐνεργητικῶς· ὥσπερ τὸ ἀστρατήγητος.

6. Εὐξαμένους γεν.) Ηὔξαντο γὰρ πολλοὶ τῶν ἡγεμόνων γενέσθαι αὐτοῖς τέκνα· εἶτα κατέστησαν εἰς μεγίστας συμφορὰς καὶ λύπας.

7. Οἱ μὲν γὰρ) Ἐπεξήγησις τοῦ εἰρημένου.

— Ἀγένητα μᾶλ.) Μᾶλλον ἂν ὠφέλει αὐτοὺς εἰ μὴ ἐγένοντο ἢ γεννηθέντα.

9. Ἀλλὰ κἂν εὔξ.) Ἀλλὰ καὶ εὔξαιτο ἂν γενέσθαι ἂν αὐτοῖς ταῦτα.

— Ἀνευχόμεν.) Ἀποβάλλοντες δι᾽ εὐχῆς, ὅσα πρότερον ηὔχοντο.

10. Ὑπὲρ μόρον) Ὑπὲρ τὸ καθῆ-

11 Κινδυνεύεις γ' ἄν, ὦ Ἀλκιβιάδη, φρόνιμός τις εἶναι ἐκεῖνος ὁ ποιητής, ὃς (δοκεῖ μοι) φίλοις ἀνοήτοις τισὶ χρησάμενος, ὁρῶν αὐτοὺς καὶ πράττοντας καὶ εὐχομένους ἅπερ οὐ βέλτιον ἦν, ἐκείνοις δὲ ἐδόκει, κοινῇ ὑπὲρ ἁπάντων αὐτῶν εὐχὴν ποιήσασθαι. Λέγεις δέ πως ὡδί,

> Ζεῦ βασιλεῦ, τὰ μὲν ἐσθλὰ [φησὶ] καὶ εὐχομένοις καὶ ἀνεύκτοις
> Ἄμμι δίδου, τὰ δὲ δεινὰ καὶ εὐχομένοις ἀπαλέξειν κελεύει.

12 Ἐμοὶ μὲν οὖν καλῶς δοκεῖ καὶ ἀσφαλῶς λέγειν ὁ ποιητής· σὺ δ' εἴ τι ἐν νῷ ἔχεις πρὸς ταῦτα, μὴ σιώπα.

ς'. Ἀλκ. Χαλεπόν, ὦ Σώκρατες, ἐστὶν ἀντιλέγειν πρὸς τὰ καλῶς εἰρημένα· ἐκεῖνο δ' οὖν ἐννοῶ, ὅσων κακῶν αἰτία ἡ ἄγνοια τοῖς ἀνθρώποις· ὁπότε, ὡς ἔοικε, λελήθαμεν ἡμᾶς αὐτοὺς διὰ ταύτην καὶ πράττοντας, καὶ, τό γε ἔσχατον, εὐχόμενοι ἡ-
2 μῖν αὐτοῖς τὰ κάκιστα. Ὅπερ οὖν οὐδεὶς οἰηθείη, ἀλλὰ τοῦτό γε πᾶς ἂν οἴοιτο ἱκανὸς εἶναι, αὐτὸς αὐτῷ τὰ βέλτιστα εὔξασθαι, ἀλλ' οὐ τὰ κάκιστα. Τοῦτο μὲν γὰρ ὡς ἀληθῶς κα-
3 τάρᾳ τινὶ ἀλλ' οὐκ εὐχῇ ὅμοιον ἂν εἴη. — Σωκ. Ἀλλ' ἴσως, ὦ βέλτιστε, φαίη ἄν τις ἀνὴρ ὃς ἐμοῦ τε καὶ σοῦ σοφώτερος ὢν τυγχάνει, οὐκ ὀρθῶς ἡμᾶς λέγειν, οὕτως εἰκῇ ψέγοντας ἄγνοιαν· εἴ γε μὴ προσθείημεν τὴν ἔστιν ὧν τε ἄγνοιαν, καὶ ἔστιν οἷς, καὶ ἔχουσί πως, ἀγαθόν, ὥσπερ ἐκείνοις κακόν. — Ἀλκ. Πῶς λέγεις; ἔστι γὰρ ὁτιοῦν πρᾶγμα ὁτῳδὴ ὁπωσοῦν ἔχοντι ἄμεινον ἀγνοεῖν ἢ γινώσκειν; — Σωκ. Ἔμοι γε δοκεῖ· σοὶ δ' οὔ;
4 — Ἀλκ. Οὐ μέν τοι μὰ Δία. — Σωκ. Ἀλλὰ μὴν οὐδ' ἐκεῖνο σοῦ καταγνώσομαι, ἐθέλειν ἄν σε πρὸς τὴν ἑαυτοῦ μητέρα διαπεπρᾶχθαι ἅπερ Ὀρέστην φασὶ καὶ τὸν Ἀλκμαίωνα, καὶ εἰ

---

χον. Ἔστι δὲ ἐκ τῶν παρ' Ὁμήρου ἐν οἷς τὸν Δία ὑποτίθησι τοῖς ἄλλοις θεοῖς ἑστιῶσι λέγειν. Ὀδυσ. Α'. στίχ. 32.

> Ὢ πόποι! οἷον δή νυ θεοὺς βροτοὶ αἰτιόωνται.
> Ἐξ ἡμέων γάρ φασι κάκ' ἔμμεναι· οἱ δὲ καὶ αὐτοὶ
> Σφῇσιν ἀτασθαλίῃσιν ὑπὲρ μόρον ἄλγε' ἔχουσιν.

— Λέγει δέ πως ὡδί) Ὅμηρ. ἐν ἀποσπασματ. στίχ. 161.

ς'. Ἡ ἄγνοια τοῖς ἀνθρ.) Ἐννοεῖται, γίγνεται ἢ ἐστί.

— Ὁπότε) Αἰτιολογικώτερον τὸ Ὁπότε λαμβάνεται, χρονικὸν ὄν.

2. Ὅπερ οὖν οὐδ.) Ὃ δὴ οὐδ' ἂν εἰς νοῦν ἔλθοι τινός· ἀλλὰ τοὐναντίον μάλιστα ἕκαστος οἰηθείη ἄν, ὅτι κατὰ τοῦτό ἐστιν ἱκανὸς τό, αὐτὸς ἑαυτῷ καὶ τλ. Τὸ δὲ Αὐτὸς κατ' ὀνομαστικὴν διὰ τὸ ταὐτοπροσωποῦν τοῦ εὔξασθαι, καὶ τοῦ οἴοιτο.

3. Τὴν ἔστιν ὧν, καὶ ἔστιν οἷς) Ὅτι ἡ ἐνίων δηλ. ἄγνοια καὶ ἐνίοις καί πως διακειμένοις ἐστὶν ἀγαθόν· ὥσπερ ἐκείνοις κακόν.

— Ἔστι γὰρ καὶ τλ.) Ἔστιν ὁποιῳδηποτοῦν ὅπως δηποτοῦν διακειμένῳ μᾶλλον ἀγνοεῖν, ἢ γιγνώσκειν ὁποιονδηποτοῦν πρᾶγμα. Οἷον. Ἔστι κατὰ τὴν διάθεσιν ἑκάστου καὶ ἡ ἄγνοια, καὶ γνῶσις βελτίων ἢ χείρων ἑκάστου πράγματος.

4. Ἅπερ Ὀρέστ.) Κλυταιμνήστρα γυνὴ Ἀγαμέμνονος ἐν τῇ αὐτοῦ ἀπουσίᾳ κατὰ τὴν Τροίας πολιορκίαν ἠράσθη Αἰγίσθου τοῦ Θυέστου. Οὗτος βουλόμενος αὐτὴν ἀγαγέσθαι γυναῖκα συμφώνως αὐτῇ ἐφόνευσεν Ἀγαμέμνονα ἐπα-

δή τινες ἄλλοι ἐκείνοις τυγχάνουσι ταῦτα διαπεπραγμένοι. —
Ἀλκ. Εὐφήμει πρὸς Διός, ὦ Σώκρατες. — Σωκ. Οὔτοι τὸν λέ- 5
γοντα, ὦ Ἀλκιβιάδη, ὡς οὐκ ἂν ἐθέλοις σοὶ ταῦτα πεπρᾶχθαι,
εὐφημεῖν δεῖ σε κελεύειν, ἀλλὰ μᾶλλον πολὺ εἴ τις τὰ ἐναντία
λέγοι· ἐπειδὴ οὕτω σοὶ δοκεῖ σφόδρα δεινὸν εἶναι τὸ πρᾶγμα,
ὥστ' οὐδὲ ῥητέον εἶναι οὕτως εἰκῆ. Δοκῆς δ' ἂν τὸν Ὀρέστην, 6
εἰ ἐτύγχανε φρόνιμος ὤν, καὶ εἰδὼς ὅ,τι βέλτιστον ἦν αὐτῷ
πράττειν, τολμῆσαι ἄν τι τούτων διαπράξασθαι; — Ἀλκ. Οὐ
δῆτα. — Σωκ. Οὐδέ γε ἄλλον οἶμαι οὐδένα. — Ἀλκ. Οὐ μέν τοι. 7
— Σωκ. Κακὸν ἄρα, ὡς ἔοικεν, ἐστὶν ἡ τοῦ βελτίστου ἄγνοια,
καὶ τὸ ἀγνοεῖν τὸ βέλτιστον. — Ἀλκ. Ἔμοι γε δοκεῖ. — Σωκ.
Οὐκοῦν καὶ ἐκείνῳ καὶ τοῖς ἄλλοις ἅπασι; — Ἀλκ. Φημί.

ζ΄. Σωκ. Ἔτι τοίνυν καὶ τόδε ἐπισκεψώμεθα· εἴσοι αὐτίκα μά-
λα παρασταίη, οἰηθέντι βέλτιον εἶναι, Περικλέα, τὸν σεαυτοῦ
ἐπίτροπόν τε καὶ φίλον, ἐγχειρίδιον λαβόντα, ἐλθόντα ἐπὶ τὰς
θύρας, εἰπεῖν εἰ ἔνδον ἐστί, βουλόμενον ἀποκτεῖναι αὐτὸν ἐκεῖ-
νον, ἄλλον δὲ μηδένα· οἱ δὲ φαῖεν ἔνδον εἶναι. Καὶ οὐ λέγω
ἐθέλειν ἄν σε τούτων τι πράττειν· ἀλλ' εἰ, οἶμαι, δόξει σοι
ὅπερ οὐθὲν κωλύει δή που τῷ γε ἀγνοοῦντι τὸ βέλτιστον,
παραστῆναι ποτὲ δόξαν ὥστε οἰηθῆναι καὶ τὸ κάκιστον ποτὲ 2

---

νελθόντα οἴκαδε μετὰ τὴν Τροίας ἅλωσιν· καὶ κατέσχε τὴν ἀρχήν. Ὀρέστης δὲ ὁ Ἀγαμέμνονος καὶ Κλυτεμνήστρας τελειωθεὶς ἠμύνατο τῷ πατρὶ καὶ τὴν μητέρα καὶ Αἴγισθον κτείνας πεισθεὶς ὑπὸ Ἠλέκτρας τῆς ἀδελφῆς. Σοφοκλ. Ἠλέκτρ. Ἀλκμαίων δὲ καὶ αὐτὸς ἐφόνευσε τὴν ἑαυτοῦ μητέρα κατ' ἐπιταγὴν τοῦ πατρός. Κρυβεὶς γὰρ ὁ πατὴρ αὐτοῦ Ἀμφιάραος, ἵνα μὴ στρατεύσηται κατὰ Θηβῶν μετὰ Πολυνείκους τοῦ Οἰδίποδος, ἐπειδὴ αὕτη χρυσοῦν λαβοῦσα ὅρμον, ἔδειξεν ἔνθα ἐκρύβη, ἀνάγκην ἔχων στρατεύεσθαι, τοῖς παισὶν ἐντολὰς ἔδωκε τελειωθεῖσι κτείνειν τὴν μητέρα, καὶ ἐπὶ Θήβας στρατεύειν· αὐτὸς δὲ σὺν τοῖς λοιποῖς μετὰ Ἀδράστου ἐστράτευσεν εἰς Θήβας καὶ ἐν τῇ μάχῃ ἠνεῴχθη ἡ γῆ, καὶ κατέπιεν αὐτὸν αὐτοῖς ἵπποις καὶ ἅρματι. Μετὰ δὲ τὴν τῶν Θηβῶν ἅλωσιν αἰσθόμενος Ἀλκμαίων καὶ ἐπ' αὐτὸν δῶρα εἰληφυῖαν Ἐριφύλην τὴν μητέρα, μᾶλλον ἠγανάκτησε, καὶ χρήσαντος Ἀπόλλωνος αὐτῷ, τὴν μητέρα κτείνει. Ἀπολλόδ. Γ΄.

— Εὐφήμει πρὸς Διός.) Ἤτοι λέγε καλῶς· μὴ οὕτω λέγε.

5. Ὡς οὐκ ἂν ἐθέλ.) Οὐ δεῖ σε κελεύειν εὐφημεῖν τὸν λέγοντα· ἐπειδὴ οὐδ' ἂν ἐθελήσαις· καὶ τλ.

— Ἀλλὰ μᾶλλον πολὺ) Εὐφημεῖν δεῖ σε κελεύειν εἴτις καὶ τλ.

6. Δοκῆς δ' ἂν) Καὶ οἴει ὅτι ὁ Ὀρέστης ἐτόλμησεν ἂν καὶ τλ. δύο Ἂν πρὸς ἓν ῥῆμα φέρονται δυνητικῶς ἔθει Ἀττικῷ.

ζ΄. Εἴσοι αὐτίκ. μάλ.) Εἴσοι, φέρε, ἐπέλθοι· τὸ ἑξῆς δηλ.

— Ἐπίτροπον καὶ φίλ.) Μετὰ γὰρ τὸν θάνατον τοῦ πατρὸς Ἀλκιβιάδης νέος ἔτι ὢν ὑπὸ ἐπίτροπον ἦν Περικλέα, οὗ ἐν τῇ οἰκίᾳ καὶ ἐτράφη· διδαχθεὶς ὑπὸ Σωκράτους.

— Εἴ σοι αὐτίκ. καὶ τλ.) Ἐπειδὴ ἡ σύνταξις διὰ τὴν σύμπτωσιν τῶν αἰτιατικῶν περιπεπλεγμένη δοκεῖ, ἐκφραστέον ὧδε. Εἴ σοι, ὡς ἐπὶ παραδείγματος, διὰ τὸ οἰηθῆναί σε βέλτιον εἶναι, παρασταίη τις δόξα λαβεῖν ἐγχειρίδιον, καὶ ἐλθεῖν ἐπὶ τὰς θύρας, καὶ ἐρωτῆσαι, εἰ ἔνδον ἐστὶ Περικλῆς ὁ σὸς ἐπίτροπός τε καὶ φίλος, ἐπειδὴ τοῦτον αὐτὸν βούλει ἀποκτεῖναι, καὶ μηδένα ἄλλον· οἱ δὲ ἐρωτηθέντες εἴποιεν ὅτι ἐστὶν ἔνδον. Καὶ ἐνταῦθα μὲν καταλείπει ἀτελῆ τὸν λόγον, παρακατιὼν δὲ ἐπαναλαμβάνει.

2. Παραστῆναι ποτὲ δόξ.) Ἐκ τούτου

βέλτιστον εἶναι. Ἢ οὐκ ἂν δοκῇ σοι; — Ἀλκ. Πάνυ μὲν οὖν. —
3 Σωκ. Εἰ οὖν παρελθὼν εἴσω, καὶ ἰδὼν αὐτὸν ἐκεῖνον, ἀγνοή-
σαις τε καὶ οἰηθείης ἂν ἄλλον εἶναί τινα, ἆρ' ἔτι ἂν αὐτὸν τολ-
μήσαις ἀποκτεῖναι; — Ἀλκ. Οὐ μὰ τὸν Δία οὐκ ἄν μοι δο-
κῶ. — Σωκ. Οὐ γὰρ δή που τὸν ἐντυχόντα, ἀλλ' αὐτὸν ἐκεῖνον
4 ὃν ἠβούλου. Ἢ γάρ; — Ἀλκ. Ναί. — Σωκ. Οὐκοῦν καὶ εἰ πολ-
λάκις ἐγχειρεῖς, αἰεὶ δὲ ἀγνοεῖς τὸν Περικλέα, ὁπότε μέλλεις
τοῦτο πράττειν, οὔποτε ἂν ἐπίθοιο αὐτῷ. — Ἀλκ. Οὐ δῆτα. —
5 Σωκ. Τί δέ; τὸν Ὀρέστην δοκῇς ἄν ποτε τῇ μητρὶ ἐπιθέσθαι,
εἴ γε ὡσαύτως ἠγνόησεν; — Ἀλκ. Οὐκ οἶμαι ἔγω γε. — Σωκ.
Οὐ γὰρ δή που οὐδ' ἐκεῖνος τὴν προστυχοῦσαν γυναῖκα, οὐδὲ
τὴν ὁτουοῦν μητέρα διενοεῖτο ἀποκτεῖναι, ἀλλὰ τὴν αὐτὸς αὐ-
6 τοῦ. — Ἀλκ. Ἔστι ταῦτα. — Σωκ. Ἀγνοεῖν ἄρα τά γε τοιαῦ-
τα βέλτιον τοῖς οὕτω διακειμένοις, καὶ τοιαύτας δόξας ἔχου-
σι. — Ἀλκ. Φαίνεται. — Σωκ. Ὁρᾷς οὖν ὅτι ἡ ἔστιν ὧν γε ἄ-
γνοια, καὶ ἔστιν οἷς, καὶ ἔχουσί πως, ἀγαθόν, ἀλλ' οὐ κακόν,
ὥσπερ ἄρτι σοὶ ἐδόκει; — Ἀλκ. Ἔοικεν.

η'. Σωκ. Ἔτι τοίνυν εἰ βούλει τὸ μετὰ τοῦτο ἐπισκοπεῖν,
ἄτοπον ὄν, ἴσως ἄν σοι δόξειεν εἶναι. — Ἀλκ. Τί μάλιστα, ὦ
Σώκρατες; — Σωκ. Ὅτι, ὡς ἔπος εἰπεῖν, κινδυνεύει τό γε τῶν ἄλ-
λων ἐπιστημῶν κτῆμα, ἐάν τις ἄνευ τοῦ βελτίστου κεκτημένος,
ᾖ, ὀλιγάκις μὲν ὠφελεῖν, βλάπτειν δὲ τὰ πλείω τὸν ἔχοντα αὐτά.
2 Σκόπει δὲ ὧδε· ἆρ' οὐκ ἀναγκαῖόν σοι δοκεῖ εἶναι, ὅταν τι μέλ-
λωμεν ἤτοι πράττειν ἢ λέγειν, οἰηθῆναι δεῖν πρῶτον ἡμᾶς εἰ-
δέναι, ἢ τῷ ὄντι εἰδέναι τοῦτο ὃ ἂν προχειροτέρως μέλλω-
3 μέν τι ἢ λέγειν ἢ πράττειν; — Ἀλκ. Ἔμοιγε δοκεῖ. — Σωκ.
Οὐκοῦν οἱ ῥήτορες αὐτίκα, ἤτοι εἰδότες συμβουλεύειν, ἢ οἰηθέν-
τες εἰδέναι, συμβουλεύουσιν ἡμῖν ἑκάστοτε· οἱ μέν, περὶ πολέ-
μου τε καὶ εἰρήνης, οἱ δέ, περὶ τειχῶν οἰκοδομίας, ἢ καὶ λι-
μένων κατασκευῆς. Ἑνὶ δὲ λόγῳ, ὅσα δή ποτε ἡ πόλις πράττει
πρὸς ἄλλην πόλιν, ἢ αὐτὴ καθ' αὐτήν, ἀπὸ τῆς τῶν ῥητόρων
4 συμβουλῆς πάντα γίγνεται; — Ἀλκ. Ἀληθῆ λέγεις. — Σωκ. Ὅρα
τοίνυν καὶ τὰ ἐπὶ τούτοις, ἂν δυνηθῶ. Καλεῖς γὰρ δή που φρο-

---

σὺν ἔχομεν ἐννοεῖν καὶ ἐν τῷ Παρασταίη τὸ Δόξα. Ἔστι δὲ τὸ παραστῆναι ποτ. καὶ τλ. ἐπεξήγησις τοῦ Ὅπερ.

3. Αὐτὸν ἐκεῖνον) Τὸν Περικλέα.

5. Ἀλλὰ τὴν αὐτὸς αὐτοῦ) Ἀλλ' αὐτὸς διενοεῖτο ἀποκτεῖναι τὴν ἑαυτοῦ μητέρα· χαριέντως δὲ οὕτως ἐξήνεγκε τὴν φράσιν.

η. Ἴσως ἄν σοι δόξειεν εἶν.) Τοιοῦτον ἄτοπον δηλ. — Τί μάλιστα) Ἐπισκοπεῖν χρή. — Ἄνευ τοῦ βελτίστου) Τῆς φρονήσεως δηλ.

— Τὸν ἔχοντα αὐτά) Τὰ κτήματα.

3. Οἱ ῥήτορες αὐτίκα) Παραδείγματος χάριν.

4. Καὶ τὰ ἐπὶ τούτοις) Καὶ τὰ παρακολουθοῦντα τούτοις.

— Ἂν δυνηθῶ) Ἐξηγήσασθαι.

Ε.Υ. Ζήτης Κ.Τ. ΙΩΑΝΝΙΝΑ 2006

νίμους τε καὶ ἄφρονας; — Ἀλκ. Ἔγωγε. Σωκ. — Οὐκοῦν τοὺς μὲν
πολλοὺς ἄφρονας· τοὺς δ' ὀλίγους, φρονίμους; — Ἀλκ. Οὕ-
τω. — Σωκ. Οὐκοῦν πρός τι ἀποβλέπων, ἀμφοτέρους; — Ἀλκ. 5
Ναί. — Σωκ. Ἆρ' οὖν τὸν τοιοῦτον συμβουλεύειν εἰδότα, χωρὶς
τοῦ πότερον βέλτιον, καὶ ὅτε βέλτιον, φρόνιμον καλεῖς; — Ἀλκ.
Οὐ δῆτα. — Σωκ. Οὐδέ γε, οἶμαι, ὅστις τὸ πολεμεῖν αὐτὸ οἶδε,
χωρὶς τοῦ ὁπότε βέλτιον, καὶ τοσοῦτον χρόνον ὅσον βέλτιον. Ἦ
γάρ; — Ἀλκ. Ναί. — Σωκ. Οὐκοῦν, οὐδὲ εἴτις τινὰ ἀποκτιν- 6
νύναι οἶδεν, οὐδὲ χρήματα ἀφαιρεῖσθαι, καὶ φυγάδα ποιεῖν τῆς
πατρίδος, χωρὶς τοῦ ὁπότε βέλτιον, καὶ ὅντινα βέλτιον. — 7
Ἀλκ. Οὐ μέν τοι. — Σωκ. Ὅστις ἄρα τι τῶν τοιούτων οἶδεν,
ἐὰν μὲν παρέπηται ἡ τοῦ βελτίστου ἐπιστήμη· αὕτη δ' ἦν ἡ
αὐτὴ δή που ἥπερ καὶ ἡ τοῦ ὠφελίμου. Ἦ γάρ; — Ἀλκ. Ναί.
— Σωκ. Φρόνιμόν γε αὐτὸν φήσομεν, καὶ ἀποχρῶντα ξύμβουλον
καὶ αὐτὸν αὐτῷ καὶ τῇ πόλει· τὸν δὲ μὴ ποιοῦντα, τἀναντία
τούτων. Ἢ πῶς δοκεῖ; — Ἀλκ. Ἐμοὶ μὲν οὕτω.

Θ'. Σωκ. Τί δ' εἴ τις ἱππεύειν ἢ τοξεύειν οἶδεν; ἢ αὖ παλαίειν,
ἢ πυκτεύειν; ἤ τι τῆς ἄλλης ἀγωνίας, ἢ καὶ ἄλλο τι τῶν τοιού-
των ὅσα τέχνῃ οἴδαμεν, τί καλεῖς ὃς ἂν εἰδῇ τὸ κατὰ ταύτην
τὴν τέχνην βέλτιον γιγνόμενον; ἆρ' οὐ τὸν κατὰ τὴν ἱππικήν,
ἱππικόν; — Ἀλκ. Ἔγωγε. — Σωκ. Τὸν δέ γε, οἶμαι, κατὰ τὴν 2
πυκτικήν, πυκτικόν· τὸν δὲ κατ' αὐλητικήν, αὐλητικόν; καὶ κατ'
ἄλλα δή που ἀνάλογον τούτοις· ἢ ἄλλως πως; — Ἀλκ. Οὐκ 3
ἀλλ' οὕτω. — Σωκ. Δοκεῖ οὖν σοι ἀναγκαῖον εἶναι τὸν περὶ τού-
των τι ἐπιστήμονα ὄντα, ἄρα καὶ ἄνδρα φρόνιμον εἶναι; ἢ
πολλοῦ φήσομεν ἐνδεῖν; — Ἀλκ. Πολλοῦ μέντοι, νὴ Δία. — Σωκ. 4
Ποίαν οὖν οἴει πολιτείαν εἶναι τοξοτῶν τε ἀγαθῶν καὶ αὐλητῶν,
ἔτι δὲ καὶ ἀθλητῶν τε καὶ τῶν ἄλλων τεχνητῶν; ἀναμεμιγμέ-
νων δ' ἐν τοιούτοις οἷς ἄρτι εἰρήκαμεν, τῶν τε αὐτὸ τὸ πολεμεῖν
εἰδότων καὶ αὐτὸ τὸ ἀποκτιννύναι; πρὸς δέ, καὶ ἀνδρῶν πολιτι-
κῶν, πολιτικὸν φύσημα φυσώντων; ἁπάντων δὲ τούτων ὄντων
ἄνευ τῆς τοῦ βελτίστου ἐπιστήμης, καὶ τοῦ εἰδότος ὁπότε βέλ-
τιον ἐνὶ ἑκάστῳ τούτων χρῆσθαι, καὶ πρὸς τίνα; — Ἀλκ.
Φαύλην ἔγωγε, ὦ Σώκρατες. — Σωκ. Φαίης γε ἄν, οἶμαι, ὁπό- 5

5. Ἄρ' οὖν τὸν τοιοῦτον) Τὶ ὅ,τι δηποτοῦν δηλ. τοιοῦτον, οἷον οἱ ῥήτορες.

6. Οὐδὲ χρήματα) Οὐδὲ καλεῖς φρόνιμον, εἴτις οἶδεν ἀφαιρεῖσθαι χρήματα καὶ τλ.

Θ'. Ἄρ' οὐ τὸν κατὰ τὴν) οἷον Ἄρ' οὐ καλεῖς τὸν εἰδότα τὸ βέλτιον κατὰ τὴν ἱππικήν, ἱππικόν;

3. Πολλοῦ μέν τοι νὴ Δία) Ὅ ἐστι· πολλοῦ δεῖ εἶναι ἄνδρα φρόνιμον τὸν περί τι τῶν εἰρημένων ἐπιστήμονα.

4. Πολιτικὸν φύσημα) Ὅπερ ἐστὶ καυχωμένων ὅτι εἰσὶ πολιτικοί.

ταν ὁρμῆς ἕνα ἕκαστον αὐτῶν φιλοτιμούμενόν τε, καὶ νέμοντα τὸ πλεῖστον τῆς πολιτείας τούτῳ μέρος,

Ἵν' αὐτὸς αὑτοῦ τυγχάνῃ κράτιστος ὤν.

(λέγω δὲ τὸ κατ' αὐτὴν τὴν τέχνην βέλτιστον γιγνόμενον) τοῦ δὲ τῇ πόλει τε καὶ αὐτὸν αὑτῷ βελτίστου ὄντος τὰ πολλὰ διημαρτηκότα, ἅτε οἶμαι, ἄνευ νοῦ δόξῃ πεπιστευκότα. Οὕτω δὲ
6 τούτων ἐχόντων, ἆρ' οὐκ ἂν ὀρθῶς λέγοιμεν, φάντες πολλῆς ταραχῆς τε καὶ ἀνομίας μεστὴν εἶναι τὴν τοιαύτην πολιτείαν; —
7 Ἀλκ. Ὀρθῶς μέντοι, νὴ Δία. — Σωκ. Οὐκοῦν ἀναγκαῖον ἐδόκει ἡμῖν εἶναι, οἰηθῆναι δεῖν πρῶτον ἡμᾶς εἰδέναι, ἢ τῷ ὄντι εἰδέναι τοῦτο ὃ ἂν προχείρως μέλλωμεν ἢ πράττειν ἢ λέγειν; — Ἀλκ. Ἐδόκει. — Σωκ. Οὐκοῦν, κἂν μὲν πράττῃ ἅ τις οἶδεν, ἢ δοκεῖ εἰδέναι, παρέπεται δὴ τὸ ὠφελίμως καὶ λυσιτελούντως
8 ἡμᾶς ἕξειν καὶ τῇ πόλει καὶ αὐτὸν αὑτῷ; — Ἀλκ. Πῶς γὰρ οὔ; — Σωκ. Ἐὰν δέ γ', οἶμαι, τἀναντία τούτων, οὔτε τῇ πόλει, οὔτ' αὐτὸν αὑτῷ; — Ἀλκ. Οὐ δῆτα. — Σωκ. Τί δέ; νῦν ἔτι ὡσαύτως σοὶ δοκεῖ, ἢ ἄλλως πως; — Ἀλκ. Οὔκ· ἀλλ' οὕτω. — Σωκ. Ἆρ' οὖν ἔφησθα καλεῖν τοὺς μὲν πολλοὺς ἄφρονας, τοὺς δ' ὀλίγους, φρονίμους; — Ἀλκ. Ἔγωγε. — Σωκ. Οὐκοῦν φαμὲν πάλιν τοὺς πολλοὺς διημαρτηκέναι τοῦ βελτίστου, ὡς τὰ
9 πολλά γε, οἶμαι, ἄνευ νοῦ δόξῃ πεπιστευκότας. — Ἀλκ. Φαμὲν γάρ. — Σωκ. Λυσιτελεῖ ἄρα τοῖς πολλοῖς μήτε εἰδέναι μηδέν, μήτε οἴεσθαι εἰδέναι· εἴπερ γε μᾶλλον προθυμήσονται μὲν πράττειν ταῦτα ἅττ' ἂν εἰδῶσιν, ἢ οἰηθῶσιν εἰδέναι· πράττοντες δέ, βλάπτεσθαι τὰ πλείω μᾶλλον ἢ ὠφελεῖσθαι; — Ἀλκ. Ἀληθέστατα λέγεις.

ι. Σωκ. Ὁρᾷς οὖν, ὅτε γ' ἔφην, κινδυνεύει τόγε τῶν ἄλλων ἐπιστημῶν κτῆμα, ἐάν τις ἄνευ τῆς τοῦ βελτίστου ἐπιστήμης κεκτημένος ᾖ, ὀλιγάκις μὲν ὠφελεῖν, βλάπτειν δὲ τὰ πλείω τὸν ἔχοντα αὐτό, ἆρ' οὐχὶ τῷ ὄντι ὀρθῶς ἐφαινόμην λέγων; — Ἀλκ. Καὶ εἰ μὴ τότε, ἀλλὰ νῦν μοὶ δοκεῖ, ὦ Σώκρατες. —
2 Σωκ. Δεῖ ἄρα καὶ πόλιν καὶ ψυχὴν τὴν μέλλουσαν ὀρθῶς βιώσεσθαι, ταύτης τῆς ἐπιστήμης ἀντέχεσθαι ἀτεχνῶς, ὥσπερ ἀσθε-

---

5. Τούτῳ μέρος) Καὶ νέμει τὸ πλεῖστον μέρος τῆς πολιτείας τούτῳ τῷ ἑξῆς· ἵν' αὐτός, καὶ τλ.

— Λέγω δὲ) Τοῦτ' ἔστιν· ὁπότε ὁρμῆς ἕνα ἕκαστον γιγνόμενον βέλτιστον τὸ κατ' αὐτήν· καὶ τλ. Ἀττικὸν δέ, τὸ κατ' αὐτὴν τὴν τέχνην, τοῦ ἄρθρου παραπληροῦντος.

— Καὶ αὐτὸν αὑτῷ) Τὸ Αὐτὸν κατ' ἰδιωτισμὸν Πλάτωνος λέγεται ἔμφασιν τοῦ λόγου ποιοῦν· ἵν' ᾖ. Διημαρτηκότα δὲ τοῦ βελτίστου ὄντος τῇ τε πόλει καὶ ἑαυτῶν ἕκαστον διημαρτηκότα τοῦ· καὶ τλ.

7. Καὶ αὐτὸν αὑτῷ) Καὶ ἑαυτῷ ἕκαστον ἕξειν καὶ τλ.

8. Οὐ δῆτα) Οὐ παρέπεται τὸ ὠφελίμως καὶ τλ.

— Δόξῃ ἄνευ νοῦ) Δόξῃ ἄφρονος· ὃ ἐστὶ χωρὶς φρονήσεως.

ι. 2. Καὶ πόλιν καὶ ψυχὴν) καὶ πόλιν δηλ. καὶ καθ' ἕνα ἕκαστον.

ΙΩΑΝΝΙΝΑ 2006

νοῦντα ἰατροῦ, ἤ τινος κυβερνήτου τὸν ἀσφαλῶς μέλλοντα πλεῖν.
Ὅσωπερ ἂν μὴ πρότερον ἐπουρίσῃ τὸ τῆς ψυχῆς. Ἄνευ γὰρ
ταύτης, ἢ περὶ χρημάτων κτῆσιν, ἢ σώματος ῥώμην, ἢ καὶ ἄλ-
λο τι τῶν τοιούτων, τοσούτῳ μείζω ἁμαρτήματα ἀπ' αὐτῶν ἀναγ-
καῖόν ἐστιν, ὡς ἔοικε, γίγνεσθαι. Ὁ δὲ δὴ τὴν καλουμένην πο- 3
λυμάθειάν τε καὶ πολυτεχνίαν κεκτημένος, ὀρφανὸς δὲ ὢν ταύτης
τῆς ἐπιστήμης, ἀγόμενος δὲ ὑπὸ μιᾶς ἑκάστης τῶν ἄλλων, ἆρ'
οὐχὶ τῷ ὄντι δικαίως πολλῷ χειμῶνι χρήσεται; ἅτ' οἶμαι, ἄνευ
κυβερνήτου διατελῶν ἐν πελάγει, χρόνον οὐ μακρὸν βίον θεῶν.
Ὥστε ξυμβαίνειν μοι δοκεῖ καὶ ἐνταῦθα τὸ τοῦ ποιητοῦ, ὃ λέγει 4
κατηγορῶν πού τινος, ὡς ἄρα πολλὰ μὲν ἠπίστατο ἔργα, κακῶς
δέ, φησίν, ἠπίστατο πάντα. — Ἀλκ. Καὶ τί δή ποτε ξυμβαίνει
τὸ τοῦ ποιητοῦ, ὦ Σώκρατες; ἐμοὶ μὲν γὰρ οὐδ' ὁτιοῦν δοκεῖ πρὸς
λόγον εἰρηκέναι. — Σωκ. Καὶ μάλα γε πρὸς λόγον· ἀλλ' αἰνίτ- 5
τεται, ὦ βέλτιστε, καὶ οὗτος, καὶ οἱ ἄλλοι δὲ ποιηταὶ σχεδόν
τι πάντες. Ἔστι τε φύσει ποιητικὴ ἡ σύμπασα αἰνιγματώδης,
καὶ οὐ τοῦ προστυχόντος ἀνδρὸς γνωρίσαι. Ἔτι δὲ πρὸς τῷ 6
φύσει τοιαύτη εἶναι, ὅταν λάβηται ἀνδρὸς φθονεροῦ τε καὶ μὴ
βουλομένου ἡμῖν ἐνδείκνυσθαι, ἀλλ' ἀποκρύπτεσθαι ὅτι μάλιστα
τὴν αὑτοῦ σοφίαν, ὑπερφυῶς δὴ τὸ χρῆμα ὡς δύσγνωστον φαί-
νεται, ὅ,τι ποτὲ νοοῦσιν ἕκαστος αὐτῶν. Οὐ γὰρ δή που Ὅμη- 7
ρόν γε, τὸν σοφώτατόν τε καὶ θειότατον ποιητήν, ἀγνοεῖν δοκεῖς ὅτι
οὐχ οἷόν τε ἦν ἐπίστασθαι κακῶς. Ἐκεῖνος γάρ ἐστιν ὁ λέ-
γων τὸν Μαργίτην πολλὰ μὲν ἐπίστασθαι, κακῶς δέ, φησί,
πάντα ἐπίστασθαι. Ἀλλ' αἰνίττεται, οἶμαι, παράγων τὸ κα-
κῶς μέν, ἀντὶ τοῦ κακοῦ· τὸ δὲ ἠπίστατο, ἀντὶ τοῦ ἐπίστα-
σθαι. Γίγνεται οὖν συντεθὲν ἔξω μὲν τοῦ μέτρου, ἔστι δ' ὅ,τι 8

---

— Τὸ τῆς ψυχῆς) Ἀντὶ ἡ ψυχή. Τὸ δέ γε Ἐπουρίζειν κυρίως μὲν ἐπὶ ἀνέμου, ὁπότε αἰσίως πνεῖ, λέγεται δὲ καὶ περὶ ψυχῆς καὶ τῶν ἐπιθυμιῶν αὐτῆς· ὅταν ὡσεὶ ἀνέμῳ σφοδρῷ καὶ οὐρίῳ τὸν ἄνθρωπον ἐπὶ ἄλλο φέρουσί τι· ὁ νοῦς. Ἄρα ἐν ὅσῳ ἂν ἡ ψυχὴ μὴ ἀχθῇ ἐπ' ἄλλο ἐκβιβασθεῖσα ὑπό τινος φυσήματος.

— Ἄνευ γὰρ ταύτης) Τῆς ἐπιστήμης δηλ.

— Τοσούτῳ μείζ.) Ἀντὶ πολλῷ μείζω.

3. Βίον θεῶν) Ὁρῶν δηλ. τὸν βίον ὀλιγοχρόνιον καὶ ἐν κινδύνῳ ἀεὶ ὄντα· καὶ ταῦτα διὰ τὴν τοῦ χειμῶνος μεταφοράν.

4. Τὸ τοῦ ποιητοῦ) Ὁμήρου Μαργίτου κατηγοροῦντος· ἐν Ἀποσπμ. στίχ. 159. οὕτω λέγων·

Πόλλ' ἠπίστατο ἔργα, κακῶς δ' ἠπίστατο πάντα.

5. Τοιαύτη εἶν.) Ὀνομαστικῇ ἀντὶ αἰτιατικῆς ἐχρήσατο, οἶμαι, διὰ τὴν ἐπαγομένην ἀνάλυσιν. Ὅταν λάβηται.

— Ὡς δύσγνωστον) Τὸ Ὡς ἐπιτατικῶς λέγεται· ἵν' ᾖ. Τὸ χρῆμα τοῦτο ἡ ποιητικὴ ὑπερβαλλόντως λίαν φαίνεται δύσγνωστον· ὅ,τι ποτέ ἐστιν, ὃ νοοῦσιν οἱ ποιηταί.

7. Ἀγνοεῖν δοκεῖς) Οὐ νομίζεις ὅ,τι ἠγνόει Ὅμηρος ὅτι οὐκ ἔστι δυνατὸν ἐπίστασθαι κακῶς λέγων ὅτι ὁ Μαργίτης ἠπίστατο μὲν πολλά, κακῶς δὲ ἠπίστατο πάντα. Ἀλλ' ἐννόει ὅτι πολλὰ μὲν ἠπίστατο ἔργα, κακὸν δὲ ἦν αὐτῷ τὰ πολλὰ εἰδέναι.

— Παράγων) Μεταλαμβάνων.

βούλεται, ὡς πολλὰ μὲν ἠπίστατο ἔργα, κακὸν δὲ ἦν αὐτῷ ἐπίστασθαι ταῦτα πάντα. Δῆλον οὖν ὅτι εἴπερ ἦν αὐτῷ κακὸν τὸ πολλὰ εἰδέναι, φαῦλός τις ὢν ἐτύγχανεν· εἴπερ γε πιστεύειν δεῖ τοῖς προειρημένοις λόγοις. — Ἀλκ. Ἀλλ' ἔμοι γε δοκεῖ, ὦ Σώκρατες. Ἦ χαλεπῶς γ' ἂν ἄλλοις τισὶ πιστεύσαιμι λόγοις, εἴπερ μηδὲ τούτοις.

ιά. Σωκ. Καὶ ὀρθῶς γέ σοι δοκεῖ. Ἀλλὰ φέρε πρὸς Διός. Ὁρᾷς γὰρ δή που τὴν ἀπορίαν ὅση τε καὶ οἵα· ταύτης δέ μοι δοκεῖς καὶ σὺ κεκοινωνηκέναι· μεταβαλλόμενος γέ τοι ἄνω καὶ κάτω οὐδ' ὁτιοῦν παύῃ, ἀλλ' ὅπερ ἂν μάλιστά σοι δόξῃ, τοῦτο
2 καὶ ἐκδεδυκέναι αὖ, καὶ οὐκέτι ὡσαύτως δοκεῖν. Εἰ οὖν σοί γέ τι καὶ νῦν ἐμφανὴς γενόμενος ὁ θεός, πρὸς ὃν τυγχάνεις πορευόμενος, ἐρωτήσειε, πρὶν ὁτιοῦν εὔξασθαί σε, εἰ ἐξαρκέσει σοὶ ἐκείνων τὶ γενέσθαι, ὧν περ καὶ ἐν ἀρχῇ ἐλέγετο, εἴτε καὶ αὐτῷ σοι ἐπιτρέψειεν εὔξασθαι, τί ποτ' ἂν οἴει ἢ τῶν παρ' ἐκείνου διδομένων λαμβάνων, ἢ αὐτὸς εὐξάμενος γενέσθαι, τοῦ καιροῦ τυ-
3 χεῖν; — Ἀλκ. Ἀλλά, μὰ τοὺς θεούς, ἐγὼ μὲν οὐδὲν ἂν ἔχοιμι σοὶ εἰπεῖν, ὦ Σώκρατες· ἀλλὰ μάργον τί μοι δοκεῖ εἶναι, καὶ ὡς ἀληθῶς πολλῆς φυλακῆς, ὅπως μὴ λήσῃ τὶς αὐτὸν εὐχόμενος μὲν κακά, δοκῶν δὲ ἀγαθά· ἔπειτ' ὀλίγον ἐπισχών, (ὅπερ καὶ σὺ ἔλε-
4 γες) παλινῳδῇ, ἀνευχόμενος ἅττα τὸ πρῶτον εὔξηται. — Σωκ. Ἆρ' οὖν οὐχὶ εἰδώς τι πλεῖον ἡμῶν ὁ ποιητής, οὗ καὶ ἐν ἀρχῇ τοῦ λόγου ἐπεμνήσθην, τὰ δεινὰ καὶ εὐχομένοις ἀπαλέξειν ἐκέλευσεν; — Ἀλκ.
5 Ἐμοὶ μέν τοι δοκεῖ. — Σωκ. Τοῦτον μὲν τοίνυν, ὦ Ἀλκιβιάδη, καὶ Λακεδαιμόνιοι τὸν ποιητὴν ἐζηλωκότες, εἴτε καὶ αὐτοὶ οὕτως ἐπεσκεμμένοι, καὶ ἰδίᾳ καὶ δημοσίᾳ ἑκάστοτε παραπλησίαν εὐχὴν εὔχονται, τὰ καλὰ ἐπὶ τοῖς ἀγαθοῖς τοὺς θεοὺς διδόναι κελεύοντες αὖ σφίσιν αὐτοῖς. Πλεῖον δ' οὐδεὶς ἂν ἐκείνων εὐξαμένων ἀ-
6 κούσειε. Τοιγαροῦν εἰς τὸ παρῆκον τοῦ χρόνου καὶ οὐδένων ἧττον εὐτυχεῖς εἰσιν ἄνθρωποι. Εἰ δ' ἄρα καὶ συμβέβηκεν αὐτοῖς ὥστε

---

ιά. Ταύτης δὲ) Τῆς ἀπορίας δηλ.

— Τοῦτο καὶ ἐκδεδυκ.) ὅτι ἐξέδυς τοῦτο. Τὸ δ' Ἐκδεδυκέναι καὶ Δοκεῖν ἐξαρτᾶται ἀπὸ τοῦ Παύῃ· ἵν' ᾖ. Τοῦτο οὐ παύῃ ἐκδεδυκ. καὶ τλ.

2. Τί ποτ' ἂν οἴει) Τί ποτε νομίζεις ὅτι ἔτυχες τοῦ καιροῦ, ἢ τῶν παρὰ τοῦ Θεοῦ· καὶ τλ.

3. Ἀλλὰ μάργον τι) Ἀνόητον καὶ παραφρονοῦν.

— Παλινῳδῇ) Ἀπὸ τοῦ Ὅπως μή.

— Εὔξηται) Οἷον· ὅσα καὶ ἂν εὐχηθῇ.

5. Τὰ καλὰ ἐπὶ τοῖς ἀγαθοῖς) Κελεύοντες τοὺς θεοὺς διδόναι αὐτοῖς σφίσι τὰ καλὰ ἐπὶ τοῖς ἀγαθοῖς· ὅπερ ἐστιν· ἵν' οἱ θεοὶ δῶσιν αὐτοῖς τὰ καλὰ οὐχ ἁπλῶς ἀλλ' ἀποβαίνοντα εἰς ἀγαθὸν τέλος.

6. Εἰς τὸ παρῆκον) Ὅ ἐστιν, εἰς τὸν προσήκοντα χρόνον. Σύνηθες δὲ τοῦτο παρ' Ἕλλησι τὸ οὐσιαστικὸν εἰς γενικὴν μεταβάλλειν, τοῦ ἐπιθέτου μένοντος εἰς τὴν ἀπαιτουμένην πτῶσιν ἐν τῇ συντάξει.

— Οὐδένων) Οὐδείς. Ἔστι δ' ὅτε καὶ πληθυντικῶς εὑρίσκεται. Οὐδένες, οὐδένων.

μὴ πάντα εὐτυχεῖν, ἀλλ᾽ οὐ διὰ τὴν ἐκείνων εὐχήν· ἐπὶ τοῖς θεοῖς δ᾽ ἐστίν, οἶμαι, ὥστε καὶ διδόναι ἅττ᾽ ἂν τις εὐχόμενος τυγχάνῃ, καὶ τἀναντία τούτων.

ιβ'. Βούλομαι δέ σοι καὶ ἕτερόν τι διηγήσασθαι, ὅ ποτε ἤκουσα πρεσβυτέρων τινῶν· ὡς Ἀθηναίοις καὶ Λακεδαιμονίοις διαφορᾶς γενομένης, συνέβαινεν ἀεὶ τῇ πόλει ἡμῶν ὥστε καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, ὁπόταν μάχη γένοιτο, δυστυ-
χεῖν, καὶ μηδέ ποτε δύνασθαι κρατῆσαι. Τοὺς οὖν Ἀθηναίους 2
ἀγανακτοῦντας τῷ πράγματι, καὶ ἀπορουμένους τίνι χρὴ μηχανῇ τῶν παρόντων κακῶν ἀποτροπὴν εὑρεῖν, βουλευομένοις αὐτοῖς δοκεῖν κράτιστον εἶναι, πέμψαντας πρὸς Ἄμμωνα, ἐκεῖ-
νον ἐπερωτᾶν· ἔτι δὲ πρὸς τούτοις τάδε, καὶ ἀνθ᾽ ὅτου ποτὲ Λα- 3
κεδαιμονίοις οἱ θεοὶ μᾶλλον νίκην διδόασιν ἢ σφίσιν αὐτοῖς· οἵ πλείστας, φάναι, μὲν θυσίας καὶ καλλίστας τῶν Ἑλλήνων ἄγομεν, ἀναθήμασί τε κεκοσμήκαμεν τὰ ἱερὰ αὐτῶν, ὡς οὐδένες ἄλλοι· πομπάς τε πολυτελεστάτας καὶ σεμνοτάτας ἐδωρούμεθα τοῖς θεοῖς ἀν᾽ ἕκαστον ἔτος, καὶ ἐτελοῦμεν χρήματα, ὅσα
οὐδ᾽ οἱ ἄλλοι ξύμπαντες Ἕλληνες. Λακεδαιμονίοις δέ, φάναι, 4
οὐδέποτ᾽ ἐμέλησεν οὐδὲν τούτων· ἀλλ᾽ οὕτως ὀλιγώρως διάκεινται πρὸς τοὺς θεούς, ὥστε καὶ ἀνάπηρα θύουσιν ἑκάστοτε, καὶ τἄλλα πάντα οὐκ ὀλίγως ἐνδεεστέρως τιμῶσιν ἤπερ ἡμεῖς,
οὐδὲν ἐλάττω χρήματα κεκτημένοι τῆς ἡμετέρας πόλεως. Ἐ- 5
πειδὴ εἰρηκέναι ταῦτά τε, καὶ ἐπερωτῆσαι τί χρὴ πράττοντας αὐτοὺς τῶν παρόντων κακῶν ἀπαλλαγὴν εὑρεῖν, ἄλλο μὲν οὐδὲν ἀποκριθῆναι τὸν προφήτην, (τὸν γὰρ θεὸν οὐκ ἐᾶν δηλονότι) καλέσαντα δὲ αὐτόν, Ἀθηναίοις, φάναι, τάδε λέγει Ἄμ-

— Ὥστε) Τὸ ὥστε παρέλκει. Τίθεται δὲ πολλάκις τοῦτό τε καὶ τὰ παραπλήσια ἐπὶ τὸ σαφέστερον ἐκφράζουσι.

ιβ'. Πρεσβυτέρων τινῶν) λεγόντων δηλ. καὶ διηγουμένων· ὅθεν τὸ Ὁ πρὸς τὸ τοιοῦτον ἐννοούμενον φέρεται.

2. Τοὺς οὖν Ἀθην.) Ἐννοεῖται ἀπὸ κοινοῦ τὸ συνέβη. Ἤτοι· ἐλέγετο, ἢ ἔφασαν οἱ πρεσβύτεροι δηλ. ἢ καὶ ἐδιηγοῦντο. Ἡ δὲ αἰτιατικὴ τοὺς Ἀθηναίους ἀγανακτοῦντας ἀποδοθήτω πρὸς τὸ Ἐπερωτᾶν ἐκ πρώτου ἀπαρεμφατικῶς· καίτοι πρὸς τὸ Δοκεῖν ἐχρῆν, καὶ κατὰ δοτικὴν ἐξενεχθῆναι. Ἀλλ᾽ ἐξενεγκὼν κατ᾽ αἰτιατικήν, ἀναγκαῖον ὄν, ἐπειδὴ ἔμελλεν ἀπαρέμφατον ἀκολουθήσειν αὐτῇ διὰ τὸ ἐννοούμενον, ὡς εἴρηται διηγηματικὸν ῥῆμα· εἶτα, ὥσπερ ἐπιλαθόμενος τούτου, τὸ μὲν ἀπαρέμφατον πρὸς τὸ πρόσωπον δοτικὴν ἀπαιτοῦν ἐπέφερε, τὴν δ᾽ αἰτιατικὴν ἀνανταπόδοτον εἴασεν. Ἔστι δ᾽ εὑρεῖν πολλὰ τοιαῦτα παρ᾽ Ἕλλησιν, οὐκ ἀγνοοῦσι μέν, τὸ δὲ φύσει φυλάττουσιν. Ἐν γὰρ τῷ λαλεῖν πολλὰ τοιαῦτα συμβαίνει διὰ τὸ ἀπερίσκεπτον ἐν ἑκάστῃ γλώσσῃ. Ὁ δὲ νοῦς. Διηγοῦντο οὖν οἱ πρεσβύτεροι ὅτι οἱ Ἀθηναῖοι ἠγανάκτουν ἐπὶ τῷ πράγματι, καὶ ἠποροῦντο, ὅπως ἂν εὕροιεν λύσιν τῶν παρόντων κακῶν, καὶ βουλομένοις αὐτοῖς ἐπὶ τούτῳ ἔδοξεν ὅτι ἐστὶ κράτιστον ἵνα πέμψωσι πρὸς Ἄμμων, καὶ ἐπερωτήσωσι κἀκεῖνον.

3. Ἔτι δὲ πρὸς τούτοις τάδε) Ἐπερωτᾶν δηλ.

— Φάναι) Ἀπὸ τοῦ Διηγοῦντο· οὕτω καὶ περὶ τῶν ἑξῆς ἀπαρεμφάτων.

5. Τὸν γὰρ θεὸν) Οὐ γὰρ εἴα αὐτὸν ὁ θεὸς ἀποκρίνασθαι ἄλλο.

μων· φησὶν ἂν βούλεσθαι αὐτῷ τὴν Λακεδαιμονίων εὐφημίαν
6 εἶναι μᾶλλον, ἢ τὰ σύμπαντα τῶν Ἑλλήνων ἱερά. Τοσαῦτα εἰπεῖν, οὐκέτι περαιτέρω. Τὴν γοῦν εὐφημίαν οὐκ ἄλλην τινά μοι δοκεῖ λέγειν ὁ Θεὸς, ἢ τὴν εὐχὴν αὐτῶν. Ἔστι γὰρ τῷ ὄντι πολὺ διαφέρουσα τῶν ἄλλων. Οἱ μὲν γὰρ ἄλλοι Ἕλληνες, οἱ μὲν χρυσόκερως βοῦς παραστησάμενοι, ἕτεροι δ' ἀναθήμασι δωρούμενοι τοὺς Θεοὺς, εὔχονται ἅττ' ἂν τύχῃ ταῦτα, ἐάν τε
7 ἀγαθὰ, ἐάν τε κακά. Βλασφημούντων οὖν αὐτῶν ἀκούοντες οἱ Θεοὶ, οὐκ ἀποδέχονται τὰς πολυτελεῖς ταύτας πομπάς τε καὶ θυσίας. Ἀλλὰ δοκεῖ μοι πολλῆς φυλακῆς δεῖσθαι καὶ σκέψεως, ὅ,τι ποτὲ ῥητέον ἐστὶ καὶ μή.

ιγ΄. Εὑρήσεις δὲ καὶ παρ' Ὁμήρῳ ἕτερα παραπλήσια τούτοις εἰρημένα. Φησὶ γὰρ τοὺς Τρῶας ἔπαυλιν ποιουμένους,

Ἔρδειν ἀθανάτοισι τελειέσσας ἑκατόμβας·
τὴν δὲ κνίσσαν ἐκ τοῦ πεδίου τοὺς ἀνέμους φέρειν
— οὐρὰν εἴσω,
Ἡδεῖαν· τῆς δ' οὔτι Θεοὺς μάκαρας δατέεσθαι,
Οὐδ' ἐθέλειν. Μάλα γάρ σφιν ἀπήχθετο Ἴλιος ἱρὴ,
Καὶ Πρίαμος, καὶ λαὸς ἐϋμμελίω Πριάμοιο.

2 Ὥστε οὐδὲν αὐτοῖς προὔργου ἦν θύειν τε καὶ δῶρα τελεῖν μάτην, θεοῖς ἀπεχθημένους. Οὐ γὰρ, οἶμαι, τοιοῦτόν ἐστι τὸ τῶν Θεῶν, ὥς τε ὑπὸ δώρων παράγεσθαι, οἷον κακὸν τοκιστήν. Ἀλλὰ καὶ ἡμεῖς εὐήθη λόγον λέγομεν, ἀξιοῦντες Λακεδαιμονίων ταύτῃ πε-
3 ριεῖναι. Καὶ γὰρ ἂν δεινὸν εἴη εἰ πρὸς τὰ δῶρα καὶ τὰς θυσίας ἀποβλέπουσιν ἡμῶν οἱ Θεοὶ, ἀλλὰ μὴ πρὸς τὴν ψυχὴν, ἄν τις ὅσιος καὶ δίκαιος ὢν τυγχάνῃ. Πολλῷ μᾶλλον, οἶμαι, ἢ πρὸς τὰς πολυτελεῖς ταύτας πομπάς τε καὶ θυσίας· ἃς οὐδὲν κωλύει πολλὰ μὲν εἰς Θεοὺς, πολλὰ δ' εἰς ἀνθρώπους ἡμαρτηκότας, καὶ ἰδιώτην καὶ πόλιν, ἔχειν ἂν ἕκαστον ἔτος τελεῖν. Οἱ δὲ, ἅτε οὐ δωροδόκοι ὄντες, καταφρονοῦσιν ἁπάντων τούτων, ὥς φη-
4 σιν ὁ Θεὸς, καὶ Θεῶν προφήτης. Κινδυνεύει γοῦν καὶ παρὰ Θεοῖς

---

6. Ἅττα ἂν τύχ.) Ὅσα ἂν τύχωσι, χωρὶς προμελέτης καὶ φρονήσεως.

7. Ὅ,τι ποτὲ ῥητέον ἐστί) Τί χρὴ ζητεῖν καὶ μὴ, παρὰ Θεῶν.

ιγ΄. Φησὶ γάρ) Ὅμηρ. Ἀπόσπασμ. στιχ. 24 . . . 27. καὶ ἐν Ἰλιαδ. Θ΄. στίχ. 548. 552.

2. Προὔργ.) Πρὸ ἔργου· ἀναγκαῖον δηλ.

— Ἀπεχθημ.) Μετὰ ἀπαρέμφατον αἰτιατικὴ τίθεται, καίτοι τὸ αὐτοῖς κατὰ δοτικήν.

— Ταύτῃ περιεῖν.) Ὅτι διὰ τοῦτο περιεγένοντο.

3. Πολλῷ μᾶλλον, οἶμαι) Ὅτι οἱ Θεοὶ ἀποβλέπουσι πρὸς τὴν ψυχήν.

— Ἡμαρτηκότας, καὶ ἰδιώτην καὶ πόλιν) Ἡ μετοχὴ οὐ μόνον διὰ τὸ ἐπικρατέστερον τοῦ ἰδιώτην, ἀλλὰ καὶ διὰ τὴν δύναμιν τοῦ Πόλιν πληθυντικῶς ἐν ἀρσενικῷ ἐξηνέχθη γένει.

— Ὡς φησιν ὁ Θεὸς) Ἄμμων προφήτης ὢν πάντων τῶν Θεῶν. Ἄμμων γάρ ἐστιν ὁ Ζεύς. Ζεὺς δὲ ἐστὶ πατὴρ ἀνδρῶν τε Θεῶν τε· διὰ τοῦτο καὶ προφήτης.

καὶ παρ' ἀνθρώποις τοῖς νοῦν ἔχουσι δικαιοσύνη τε καὶ φρό-
νησις διαφερόντως τετιμῆσθαι. Φρόνιμοι δὲ καὶ δίκαιοι, οὐκ
ἄλλοι τινές εἰσιν ἢ τῶν εἰδότων ἃ δεῖ πράττειν καὶ λέγειν, καὶ
πρὸς θεοὺς καὶ πρὸς ἀνθρώπους. Βουλοίμην δ' ἂν καὶ σοῦ πυ- 5
θέσθαι ὅ,τι ποτὲ ἐν νῷ ἔχεις πρὸς ταῦτα. — Ἀλκ. Ἀλλ' ἐμοὶ
μέν, ὦ Σώκρατες, οὐκ ἄλλῃ πῃ δοκεῖ ἢ ἧπερ σοί τε καὶ τῷ θεῷ.
Οὐδὲ γὰρ ἂν εἰκὸς εἴη ἀντίψηφον ἐμὲ τῷ θεῷ γίγνεσθαι. —
Σωκ. Οὐκοῦν μέμνησαι ἐν πολλῇ ἀπορίᾳ φάσκων εἶναι, ὅπως 6
μὴ λάθῃς σεαυτὸν εὐχόμενος κακά, δοκῶν δὲ ἀγαθά; — Ἀλκ.
Ἔγωγε. — Σωκ. Ὁρᾷς οὖν ὡς οὐκ ἀσφαλές σοι ἐστὶν ἐλθεῖν
πρὸς τὸν θεὸν εὐξομένῳ, ἵνα μηδ' ἂν οὕτω τύχῃ, βλασφημοῦν-
τός σου ἀκούων, οὐδὲν ἀποδέξηται τῆς θυσίας ταύτης· τυχὸν δὲ
καὶ ἕτερόν τι προσαπολαύσῃς. Ἐμοὶ μὲν οὖν δοκεῖ κράτιστον 7
εἶναι ἡσυχίαν ἔχειν. Τῇ μὲν γὰρ Λακεδαιμονίων εὐχῇ, διὰ τὴν
μεγαλοψυχίαν (τοῦτο γὰρ κάλλιστον τῶν ἐν ἀφροσύνῃ γε ὀνομάτων)
οὐκ ἂν εἶμαί σε ἐθέλειν χρῆσθαι. Ἀναγκαῖον οὖν ἐστι περιμένειν ἕως
ἄν τις μάθῃ ὡς δεῖ πρὸς θεοὺς καὶ πρὸς ἀνθρώπους διακεῖσθαι.

ιδ'. Ἀλκ. Πότε οὖν παρέσται ὁ χρόνος οὗτος, ὦ Σώκρατες;
καὶ τίς ὁ παιδεύσων; ἥδιστα γὰρ ἄν μοι δοκῶ ἰδεῖν τοῦτον τὸν
ἄνθρωπον τίς ἐστιν. — Σωκ. Οὗτός ἐστιν ᾧ μέλει περὶ σοῦ. 2
Ἀλλὰ δοκεῖ μοι, ὥσπερ τῷ Διομήδει φησὶ τὴν Ἀθηνᾶν Ὅμη-
ρος ἀπὸ τῶν ὀφθαλμῶν ἀφελεῖν τὴν ἀχλύν,

Ὄφρ' εὖ γιγνώσκοι ἠμὲν θεὸν ἠδὲ καὶ ἄνδρα,

οὕτω καὶ σοῦ δεῖν ἀπὸ τῆς ψυχῆς πρῶτον ἀφελόντα τὴν ἀ-
χλύν, ἣ νῦν παροῦσα τυγχάνει, τοτηνικαῦτ' ἤδη προσφέρειν δι'
ὧν μέλλεις γνώσεσθαι ἠμὲν κακὸν ἠδὲ καὶ ἐσθλόν. Νῦν μὲν γὰρ
οὐκ ἄν μοι δοκῇς δυνηθῆναι. — Ἀλκ. Ἀφαιρείτω, εἴτε βού- 3
λεται, τὴν ἀχλύν, εἴτε ἄλλο τι· ὡς ἐγὼ παρεσκεύασμαι μηδὲν
ἂν φεύγειν τῶν ὑπ' ἐκείνου προσταττομένων, ὅστις ποτ' ἐστὶν ὁ
ἄνθρωπος· εἴγε μέλλοιμι βελτίων γενέσθαι. — Σωκ. Ἀλλὰ μὴν 4
κἀκεῖνος θαυμαστὴν ὅσην περί σε προθυμίαν ἔχει. — Ἀλκ. Εἰς
τότε τοίνυν καὶ τὴν θυσίαν ἀναβάλλεσθαι κράτιστον εἶναί μοι
δοκεῖ. — Σωκ. Καὶ ὀρθῶς γε σοὶ δοκεῖ. Ἀσφαλέστερον γὰρ 5

4. Ἢ τῶν εἰδότ.) Ἐκεῖνοι τῶν εἰδ.

6. Οὕτω τύχῃ) Ὁ Θεός.

7. Διὰ τὴν μεγαλ.) Ἔφη γὰρ πρότερον ὅτι τὴν εὐήθειαν καὶ μεγαλοψυχίαν καλοῦσιν· ὅρα γ'. 10.

ιδ'. Ὁ χρόνος οὗτος) Καθ' ὃν ἂν μάθῃ τις, ὡς δεῖ πρὸς θεοὺς καὶ πρὸς ἀνθρώπους διακεῖσθαι.

— Ὧ μέλει περὶ σοῦ) Ὥπερ ἐστὶ φροντὶς καὶ μέλησις περὶ σοῦ· ὁ φροντίζων δηλ. περὶ σοῦ. Ἐνταῦθα δοκεῖ ἑαυτὸν ἐννοεῖν ὁ Σωκράτης.

2. Τὴν ἀχλύν) Ὁμηρ. Ἰλιάδ. Ε. στίχ. 128.

— Οὕτω καὶ σοῦ δεῖν) Ἐννοεῖται τὸ Φημί.

— Ἠμὲν κακ.) Ἀντὶ καὶ τὸν ἀγαθὸν καὶ τὸν κακόν· ποιητικὰ γὰρ τὸ Ἠμὲν, Ἠδὲ ἀντὶ τοῦ Μὲν, Δέ.

ἐστιν ἢ παρακινδυνεύειν τοσοῦτον κίνδυνον. — Ἀλκ. Ἀλλὰ πῶς,
ὦ Σώκρατες; καὶ μὴν τουτονὶ τὸν στέφανον, ἐπειδή μοι δοκεῖς
καλῶς συμβεβουλευκέναι, σοὶ περιθήσω· τοῖς θεοῖς δὲ καὶ στε-
φάνους καὶ τἆλλα πάντα τὰ νομιζόμενα τότε δώσωμεν, ὅταν ἐ-
κείνην τὴν ἡμέραν ἐλθοῦσαν ἴδω. Ἥξει δ᾽ οὐ διὰ μακροῦ, τού-
6 των θελόντων. — Σωκ. Ἀλλὰ δέχομαι καὶ τοῦτο, καὶ ἄλλο δὲ
ἄντι τῶν παρὰ σοῦ δοθέντων ἡδέως ἴδοιμι δεξάμενον ἐμαυτόν.
Ὥσπερ δὲ καὶ ὁ Κρέων Εὐριπίδῃ πεποίηται τὸν Τειρεσίαν ἰδὼν
ἔχοντα τὰ στέφη, καὶ ἀκούσας ἀπὸ τῶν πολεμίων ἀπαρχὰς αὐ-
τὸν εἰληφέναι, διὰ τὴν τέχνην, «Οἰωνὸν ἐθέμην, φησί, καλλίνικα
στέφη.» Ἐν γὰρ κλύδωνι διακείμεθα, ὥσπερ οἶσθα σύ· οὕτω δὲ
κἀγὼ παρὰ σοῦ τὴν δόξαν ταύτην οἰωνὸν τίθεμαι. Δοκῶ δέ μοι
οὐκ ἐν ἐλάττονι κλύδωνι τοῦ Κρέοντος εἶναι, καὶ βουλοίμην ἂν
καλλίνικος γενέσθαι τῶν σῶν ἐραστῶν.

## Ε΄. ΜΕΝΕΞΕΝΟΣ, Η ΕΠΙΤΑΦΙΟΣ (*).

ά. Ἐξ ἀγορᾶς, ἢ πόθεν Μενέξενος; — Μεν. Ἐξ ἀγορᾶς, ὦ
2 Σώκρατες, καὶ ἀπὸ τοῦ βουλευτηρίου. — Σωκ. Τί μάλιστα σὺ
πρὸς βουλευτήριον; ἢ δηλαδὴ ὅτι παιδεύσεως καὶ φιλοσοφίας
ἐπὶ τέλει ἡγῇ εἶναι; καὶ ὡς ἱκανῶς ἤδη ἔχων, ἐπὶ τὰ μείζω
ἐπινοεῖς τρέπεσθαι; καὶ ἄρχειν ἡμῶν, ὦ θαυμάσιε, ἐπιχειρεῖς
τῶν πρεσβυτέρων, τηλικοῦτος ὤν; ἵνα μὴ ἐκλίπῃ ὑμῶν ἡ οἰκία
3 ἀεί τινα ἡμῶν ἐπιμελητὴν περεχομένη; — Μεν. Ἐὰν σύγε, ὦ
Σώκρατες, ἐᾷς καὶ συμβουλεύῃς ἄρχειν, προθυμήσομαι· εἰ δὲ μή,
οὔ. Νῦν μέντοι ἀφικόμην πρὸς τὸ βουλευτήριον, πυθόμενος ὅτι
4 ἡ βουλὴ μέλλει αἱρεῖσθαι ὅς τις ἐρεῖ ἐπὶ τοῖς ἀποθανοῦσι. Τα-

---

5. Ἀλλὰ πῶς) Δοκεῖ σοι. Καὶ γὰρ αἰτιολογικὸς ὁ Καὶ μήν.

— Οὐ διὰ μακροῦ) Χρόνου δηλ. διὰ βραχέος ἥξει χρόνου· ἐκείνη ἡ ἡμέρα, ἐὰν οἱ θεοὶ θέλωσιν.

6. Καὶ ὁ Κρέων) Εὐριπίδ. Φοίνισ. στίχ. 865.

(*) Περίπυστος ὁ διάλογος οὗτος. Διονύσιος γὰρ ὁ Ἁλικαρνασσεὺς φησί. Κράτιστος πάντων τῶν πολιτικῶν λόγων, ὁ Μενέξενος, ἐν ᾧ τὸν ἐπιτάφιον διεξέρχεται λόγον· ἐν τῷ περὶ Δημοσθ. καὶ Πλούταρχ. ἐν τῷ Περικλ. Ἀριστοτ. Ῥητορ Γ΄. ιδ΄ Λογγῖν. τμῆμ. κή. καὶ συχνοὶ ἄλλοι. Ἐκλήθη δὲ Μενέξενος μέν, ὅτι Μενέξενον ὑποτίθησι συνδιαλεγόμενον Σωκράτει. Ἐπιτάφιος δέ, διότι ἐπιτάφιον διεξέρχεται Σωκράτης πάντων τῶν ὑπὲρ τῆς πατρίδος ἀποθανόντων.

ά. Ἐξ ἀγορᾶς, ἢ) Ἐννοεῖται Ἔρχεται· καὶ ἐν τῇ ἀποκρίσει Ἔρχομαι.

2. Τί μάλιστα σὺ πρὸς τὸ) Ἐννοεῖται. Βουλόμενος θαμίζεις, ἢ φοιτᾷς, ἤ τι τοιοῦτο. Ἐν γὰρ τοῖς διαλογικοῖς σύνηθες τὸ ἄνευ ῥήματος λέγεσθαι· καὶ ἐννοεῖσθαι τὸ προσῆκον ῥῆμα.

— Ἢ δηλαδὴ ὅτι) Ὁ Ἢ λυτικός. Ἢ πάντως ὅτι νομίζεις εἶναι κατὰ τὸ τέλος τῆς παιδεύσεως καὶ φιλοσοφίας.

3. Μέλλει αἱρεῖσθ.) Τινὰ ὅς τις ἐπιτάφιον λόγον ἐρεῖ ἐπὶ τοῖς θανοῦσιν. Ἐπὶ γὰρ τῆς δημοσίας ταφῆς ἡ βουλὴ ᾑρεῖτο τὸν ἐροῦντα τὸν ἐπιτάφιον ὡς Δημοσθ. ἐν ἐπιταφ. λέγει. «Ἔδοξε τῇ »πόλει δημοσίᾳ θάπτειν, καὶ προσέτα»ξε τὸν τῷ νόμῳ προσθέντα ἐμοὶ λό»γον. Καὶ Λυσίας ἐν Ἐπιταφ. καὶ Θουκυδ. Β΄. λδ΄. Ἐὰν δὲ κρύψωσι γῆ, ἀνὴρ